Ὡς ἀγκάλας σήμερον πιστοὶ καρδίας, ἐφαπλοῦντες δέξασθε καθαρωτάτῳ λογισμῷ, ἐπιδημοῦντα τὸν Κύριον, προεορτίους αἰνέσεις προσάδοντες.

ΑΝΑΓΝΩΣΜΑΤΑ. Ἀπόστολος: τοῦ μάρτυρος, ὃν ζήτει 2 Σεπτ., *«Οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεόν»* (Ρωμ. η΄ 28-39)· Εὐαγγέλιον: Κυριακῆς ις΄ Λουκᾶ, *«Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερόν»* (Λκ. ιη΄ 10-14).

ΚΟΙΝΩΝΙΚΟΝ *«Αἰνεῖτε»*· *«Εἴδομεν τὸ φῶς»*, καὶ τὰ λοιπὰ τῆς λειτουργίας ὡς συνήθως.

Εἰδήσεις. *1. Ἂν τύχῃ ἁγίου ἑορταζομένου μνήμη ἐν ἄλλῃ ἡμέρᾳ, πλὴν Κυριακῆς, κατὰ τὰς τρεῖς πρώτας ἑβδομάδας τοῦ Τριῳδίου, κοντάκιον ἐν τῇ λειτουργίᾳ λέγεται τὸ* ***«Προστασία τῶν χριστιανῶν»****, καθόσον καὶ ἐν τῷ ὄρθρῳ καταβασίαι λέγονται* ***«Ἀνοίξω τὸ στόμα μου»*** *(Τ.Μ.Ε., Προθεωρία, σελ. 34, ὑποσημ. 13). Ἐὰν ὅμως συμπέσουν καὶ μεθέορτα τῆς Ὑπαπαντῆς, τότε λέγονται αἱ καταβασίαι καὶ τὸ κοντάκιον τῆς ἑορτῆς.*

2. Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ τῆς παρούσης ἑβδομάδος, ἥ τις καὶ «προφωνήσιμος» καλεῖται, «καὶ διὰ κρέατος ἀκινδύνως καταλύομεν» (Θεόδωρος Βαλσαμῶν).

2. **Δευτέρα.** † Η ΥΠΑΠΑΝΤΗ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Εἰς τὴν θ΄. Ἀπολυτίκια *«Τοῦ λίθου σφραγισθέντος»*, Δόξα, *«Οὐράνιος χορός»*· κοντάκιον *«Ὡς ἀγκάλας σήμερον»*.

Εἰς τὸν ἑσπερινόν. Ἡ ἀκολουθία (ἄνευ ψαλτηρίου) ὡς ἐν τῷ Μηναίῳ (τὰ 3 ἑσπέρια ἰδιόμελα τῆς ἑορτῆς δευτεροῦνται). Ἀπόστιχα τὰ ἰδιόμελα τοῦ Μηναίου, ἀλλ᾽ εἰς τὰ δύο τελευταῖα μετὰ στίχων· α) *«Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν»*· β) *«Φῶς*

εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ». Τὸ ἀπολυτίκιον *«Χαῖρε, κεχαριτωμένη»* τρίς. Ἀπόλυσις *«Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν».*

Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν ν΄ ψαλμὸν τὰ διὰ τὴν λιτὴν στιχηρὰ τῆς ἑορτῆς ὡς ἐν τῷ Μηναίῳ, τρισάγιον κ.λπ. καὶ ἀπολυτίκιον *«Χαῖρε, κεχαριτωμένη»* (ἅπαξ).

Εἰς τὸν ὄρθρον. Εἰς τὸ *«Θεὸς Κύριος»* τὸ ἀπολυτίκιον τρίς. Καθίσματα, ἀναβαθμοὶ καὶ τὰ λοιπὰ ὡς ἐν τῷ Μηναίῳ. Εὐαγγέλιον ὄρθρου τὸ τῆς ἑορτῆς, ὃ ζήτει Φεβρουαρίου 2, *«Ἦν ἄνθρωπος ἐν Ἰερουσαλήμ»* (Λκ. β΄ 25-32). Ὁ ν΄ ψαλμὸς χῦμα, καὶ τὰ λοιπὰ ὡς ἐν τῷ Μηναίῳ. Ὁ κανὼν τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς 6 («ἄνευ στίχων»). Καταβασίαι οἱ εἱρμοὶ *«Χέρσον ἀβυσσοτόκον»·* (ἀντὶ τῆς ᾠδῆς τῆς Θεοτόκου) εἰς τὴν θ΄ ᾠδὴν στιχολογοῦνται τὰ μεγαλυνάρια *«Ἀκατάληπτον ἐστὶ»* μέχρι τοῦ *«Κατελθόντ' ἐξ οὐρανοῦ»*, ἀπὸ δὲ τοῦ *«Λάμπρυνόν μου τὴν ψυχὴν»* συμψάλλονται καὶ τὰ τροπάρια τῆς θ΄ ᾠδῆς (ὁ εἱρμὸς καὶ τὸ α΄ τροπάριον δίς), εἶτα ὁ εἱρμὸς *«Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ».* Ἐξαποστειλάριον καὶ αἶνοι ὡς ἐν τῷ Μηναίῳ. Δοξολογία μεγάλη καὶ τὸ ἀπολυτίκιον *«Χαῖρε, κεχαριτωμένη»* (ἅπαξ).

Εἰς τὴν λειτουργίαν. Ἀντίφωνα τὰ τῆς ἑορτῆς μετὰ τῶν ἐφυμνίων αὐτῶν ὡς ἐν τῷ Μηναίῳ. Εἰσοδικὸν *«Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον πάντων τῶν ἐθνῶν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι ἀλληλούια».* Μετὰ τὴν εἴσοδον ψάλλονται μόνον τὸ ἀπολυτίκιον *«Χαῖρε, κεχαριτωμένη»* καὶ τὸ κοντάκιον *«Ὁ μήτραν παρθενικήν».* Τρισάγιον. Ἀπόστολος: 2ας Φεβρουαρίου, *«Χωρὶς πάσης ἀντιλογίας»* (Ἑβρ. ζ΄ 7-17)· Εὐαγγέλιον: ὁμοίως, *«Ἀνήγαγον οἱ γονεῖς»* (Λκ. β΄ 22-40). Εἰς τὸ *Ἐξαιρέτως* τὸ *«Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ καὶ γράμματι»* (ἀντὶ τοῦ *Ἄξιον ἐστί*). Κοινωνικὸν *«Ποτήριον σωτηρίου»* (ἢ *«Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν ἐθνῶν· ἀλληλούια»*)· *«Εἴδομεν τὸ φῶς».* Ἀπόλυσις ὡς ἐν τῷ ἑσπερινῷ.

Εἰδήσεις. *1. Μέχρι τῆς ἀποδόσεως τῆς Ὑπαπαντῆς, εἰς τοὺς κανόνας τῶν Μηναίων προτάσσεται καθ' ἑκάστην ὁ τῆς ἑορτῆς.*

2. Εἰς τὰς μεθεόρτους καθημερινὰς ἕως τῆς ἀποδόσεως ἡ ἀκολουθία ψάλλεται μόνον ἐκ τοῦ Μηναίου· εἰς τὴν λειτουργίαν λέγονται τὰ τῆς ἑορτῆς ἀντίφωνα (Τ.Μ.Ε., σελ. 49, §5) μὲ εἰσοδικὸν «Δεῦτε προσκυνήσωμεν... Σῶσον ἡμᾶς... ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς».

3. Τρίτη. Συμεὼν τοῦ θεοδόχου καὶ Ἄννης τῆς προφήτιδος. Ἰωάννου, Νικολάου καὶ Σταματίου τῶν ἐκ Σπετσῶν νεομαρτύρων (†1822).

Ἀπόστολος: ἡμέρας, Τρ. λδ΄ ἑβδ. ἐπιστ. (Β΄ Πέτρ. β΄ 9-22).

Εὐαγγέλιον: τῶν ἁγίων, 3ης Φεβρουαρίου (Λκ. β΄ 25-38).

4. Τετάρτη. Ἰσιδώρου τοῦ Πηλουσιώτου (†436-440). Ἰωάννου ὁσίου, Νικολάου ὁμολογητοῦ (†868), Ἀβραμίου ἱερομάρτ. (†347).

Ἀπόστολος: ἡμέρας, Τετ. λδ΄ ἑβδ. ἐπιστ. (Β΄ Πέτρ. γ΄ 1-17).

Εὐαγγέλιον: ἡμέρας, Τετ. ιζ΄ ἑβδ. Λουκᾶ (Μρ. ιγ΄ 24-31).

5. Πέμπτη. Ἀγάθης μάρτυρος (†251). Πολυεύκτου Κωνσταντινουπόλεως (†570), Θεοδοσίου ὁσίου τοῦ ἐν Σκοπέλῳ, Ἀντωνίου νεομάρτυρος τοῦ Ἀθηναίου (†1774).

Ἀπόστολος: ἡμέρας, Πέμ. λδ΄ ἑβδ. ἐπιστ. (Α΄ Ἰωάν. α΄ 8-β΄ 6).

Εὐαγγέλιον: ἡμέρας, Πέμ. ιζ΄ ἑβδ. Λουκᾶ (Μρ. ιγ΄ 31-ιδ΄ 2).

6. Παρασκευή. Βουκόλου ἐπισκόπου Σμύρνης (α΄ αἰ.), Φωτίου Κων/πόλεως τοῦ μεγάλου καὶ ἰσαποστόλου (†891).

Α΄. Συνήθης τάξις

(διὰ τὴν ἀκολουθίαν τοῦ Μηναίου)

Ἡ ἀκολουθία ψάλλεται μετὰ τῶν μεθεόρτων κατὰ τὴν διάταξιν τοῦ Μηναίου· Ἀπόστολος: ἡμέρας, Παρασκευῆς λδ΄ ἑβδ. ἐπιστολῶν (Α΄ Ἰωάν. β΄ 7-17)· Εὐαγγέλιον: ἡμέρας, Παρασκευῆς ιζ΄ ἑβδ. Λουκᾶ (Μρ. ιδ΄ 3-9).

Β΄. Ἑόρτιος τάξις
ἐπὶ τῇ μνήμῃ τοῦ ἁγίου Φωτίου

Σημειώσεις. *1. Σήμερον ἐπὶ τῇ μνήμῃ τοῦ ἁγίου Φωτίου –προστάτου τῆς Ἱ. Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος– τελεῖται πανηγυρικὴ συν-*

οδικὴ λειτουργία, καθιερωθεῖσα συνοδικῶς ἀπὸ τοῦ ἔτους 1926. Ἡ ἑόρτιος ἀκολουθία τοῦ ἁγίου ψάλλεται ἐξ ἰδιαιτέρας φυλλάδος ἢ ἐκ τοῦ παραρτήματος τοῦ Μηναίου Φεβρουαρίου (ἐκδ. Ἀποστολικῆς Διακονίας) μετὰ τῶν μεθεόρτων τῆς Ὑπαπαντῆς. Τὰ σχετικὰ μὲ τὸν συνοδικὸν ἑορτασμὸν βλέπε εἰς τὸν «Κώδικα Ἐκκλησιαστικῆς Τάξεως καὶ Ἐκκλ. Ἐθιμοτυπίας», τύποις Α.Δ., ἐν Ἀθήναις 2020, σελ. 171 καὶ ἑξῆς (ἰδίᾳ περὶ τῶν ψαλτέων εἰς §§ 14, 17, 19, 21-24, καὶ 29).

2. Ἡ ἀκολουθία τοῦ ἱεράρχου ἔχει μικρὸν ἑσπερινόν (στοιχεῖον μοναστικῆς ἀγρυπνίας), μέγαν ἑσπερινὸν μετ' εἰσόδου καὶ ἀναγνωσμάτων, λιτήν, 4 δοξαστικά, καθίσματα μετὰ πολυελέου, Εὐαγγέλιον ὄρθρου, καταβασίας, αἶνους καὶ μεγ. δοξολογίαν· ὅθεν ψάλλεται μετὰ τῶν μεθεόρτων κατὰ τὴν τάξιν τῶν ἐπισήμως ἑορταζομένων ἁγίων, κατὰ τὰς συναφεῖς ἀκολουθίας τῆς 11ης Ἰανουαρίου καὶ τῆς 23ης Ἀπριλίου καὶ τὰς παρεμφερεῖς διατάξεις τοῦ Τ.Μ.Ε. (Ἀπρ. 23, §§ 19-20, 30-32 καὶ 35-37). Πρβλ. Τυπικὸν Γεωργίου Ῥήγα, σ. 221 §2 ὑποπερίπτωσις α΄, καὶ σ. 205 §7· ἐπίσης «Σύστημα Τυπικοῦ» Κων. Παπαγιάννη, ἔκδ. Ἀπ. Διακονίας, σ. 134-135, §§ 211-214.

3. Συνῳδὰ τῇ ἀποφάσει τῆς Ἱ. Συνόδου (ἀριθμ. πρωτ. 5636/19-11-2015), καταχωρίζονται ἐφεξῆς αἱ λειτουργικαὶ διατάξεις τῆς σήμερον «ἀναλυτικῶς καὶ μετὰ πάσης λεπτομερείας..., ὥστε οὐδεμία ἀπορία περὶ τῆς τηρητέας λειτουργικῆς τάξεως νὰ ὑφίσταται» κατὰ τὸν συνοδικὸν ἑορτασμόν.

Εἰς τὴν θ΄. Ἀπολυτίκιον καὶ κοντάκιον τῆς ἑορτῆς.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* ἱστῶμεν στίχους 6 καὶ ψάλλομεν μόνα τὰ 6 στιχηρὰ τοῦ ἱεράρχου, ἤ τοι τὰ 3 πρῶτα προσόμοια *«Ὅτε ἐπινεύσει θεϊκῇ»* καὶ τὰ 3 ἕτερα *«Τὸ τῆς χάριτος ὄργανον»* κ.λπ., Δόξα, *«Ὅσιε τρισμάκαρ»*, Καὶ νῦν, ὁμόηχον τῆς ἑορτῆς *«Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ»* (ζήτει εἰς τὰ ἑσπέρια τῆς 2ας Φεβρουαρίου).

ΕΙΣΟΔΟΣ, *«Φῶς ἱλαρόν»*, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα τοῦ ἁγίου.

ΑΠΟΣΤΙΧΑ τὰ 3 προσόμοια τοῦ ἁγίου *«Χαίροις ἀρχιερεῦ τοῦ Χριστοῦ»* κ.λπ. –εἰς τοὺς πρὸ αὐτῶν στίχους τὰ δύο τελευταῖα–, Δόξα, *«Ἔπρεπε τῇ βασιλίδι τῶν πόλεων»*, Καὶ νῦν, τῆς ἑορτῆς ὁμόηχον *«Σήμερον ἡ ἱερὰ μήτηρ»* (ζήτει εἰς τὴν λιτὴν τῆς 2ας Φεβρουαρίου).

ΑΠΟΛΥΤΙΚΙΑ *«Ὡς τῶν ἀποστόλων ὁμότροπος»*, Δόξα, Καὶ νῦν, τῆς ἑορτῆς *«Χαῖρε, κεχαριτωμένη Θεοτόκε»*. Ἡ ἀπόλυσις μετὰ τοῦ χαρακτηριστικοῦ τῆς ἑορτῆς.

Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν ν΄ ψαλμόν, τὰ διὰ τὴν λιτὴν στιχηρὰ τοῦ ἱεράρχου, εἰς δὲ τὸ Καὶ νῦν, ὁμόηχον ἰδιόμελον τῆς ἑορτῆς *«Ὁ ἐν χερσὶ πρεσβυτικαῖς»* (ὅρα εἰς τοὺς αἴνους τῆς 2ας Φεβρουαρίου)· τρισάγιον κ.λπ. καὶ τὸ ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὸν ὄρθρον. Ὁ ἑξάψαλμος· εἰς τὸ *«Θεὸς Κύριος»* τὸ ἀπολυτίκιον τοῦ ἱεράρχου *«Ὡς τῶν ἀποστόλων ὁμότροπος»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, τῆς ἑορτῆς *«Χαῖρε, κεχαριτωμένη»*. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος.]

ΚΑΘΙΣΜΑΤΑ [διὰ τὴν α΄ στιχολογίαν] τοῦ ἁγίου *«Ἐπέλαμψεν ἰδού»*, Δόξα, Καὶ νῦν, τὸ κάτωθι ὅμοιον τῆς ἑορτῆς·

Ὁ ὢν σὺν τῷ Πατρὶ ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς ἐκ παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος, ὃν δεξάμενος ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

[Διὰ τὴν β΄ στιχολογίαν] τοῦ ἁγίου *«Θείαν ἔλλαμψιν»*, Δόξα, Καὶ νῦν, τὸ κάτωθι ὁμόηχον τῆς ἑορτῆς·

Ἐκ τῆς παρθένου σε, σωματωθέντα Χριστέ, χαίρων ἐδέξατο, ὁ ἱερὸς Συμεών· Νῦν ἀπολύεις ἐκβοῶν, τὸν δοῦλόν σου ὦ Δέσποτα· Ἄννα δὲ ἡ ἄμεμπτος, ἡ προφῆτις καὶ ἔνδοξος, τὴν ἀνθομολόγησιν καὶ τὸν ὕμνον προσῆγέ σοι· ἡμεῖς δὲ ζωοδότα βοῶμέν σοι· Δόξα τῷ οὕτως εὐδοκήσαντι.

[Διὰ τὸν πολυέλεον] τοῦ ἁγίου *«Ὁ ἱεράρχης καὶ σεπτός»*, Δόξα, Καὶ νῦν, ὁμόηχον τῆς ἑορτῆς, πρὸς *«Κατεπλάγη Ἰωσήφ»*·

Νηπιάζει δι' ἐμέ, ὁ παλαιὸς τῶν ἡμερῶν· καθαρσίων κοινωνεῖ, ὁ καθαρώτατος Θεός, ἵνα τὴν σάρκα πιστώσῃ μου τὴν ἐκ παρθένου· καὶ ταῦτα Συμεὼν μυσταγωγούμενος, ἐπέγνω τὸν αὐτόν, Θεὸν φανέντα σαρκί· καὶ ὡς ζωὴν ἠσπάζετο καὶ χαίρων, πρεσβυτικῶς ἀνεκραύγαζεν· Ἀπόλυσόν με· σὲ γὰρ κατεῖδον, τὴν ζωὴν τῶν ἁπάντων.

ΕΥΑΓΓΕΛΙΟΝ ΟΡΘΡΟΥ. Εὐθὺς τὸ *«Ἐκ νεότητός μου»* κ.λπ. καὶ τὸ προκείμενον *«Τὸ στόμα μου λαλήσει σοφίαν»* μετὰ τοῦ

στίχου *«Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην»*· Εὐαγγέλιον τοῦ ἱεράρχου, ζήτει τῇ 13ῃ Νοεμβρίου, *«Ἀμὴν ἀμὴν λέγω ὑμῖν»* (Ἰω. ι΄ 1-9). Εἶτα ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα, *«Ταῖς τοῦ Ἱεράρχου»*, Καὶ νῦν, *«Ταῖς τῆς Θεοτόκου»*, εἰς δὲ τὸν στίχον *«Ἐλέησόν με ὁ Θεὸς»* τὸ ἰδιόμελον *«Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου»*.

ΚΑΝΟΝΕΣ, ὁ τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν αὐτοῦ καὶ μετὰ στίχου *«Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι»*, καὶ ὁ τοῦ ἱεράρχου μετὰ στίχου *«Ἅγιε τοῦ Θεοῦ»*. Ἀπὸ γ΄ ᾠδῆς τὸ μεσῴδιον κάθισμα τοῦ ἁγίου *«Τὸν προφήτην Ἠλίαν»*, Δόξα, Καὶ νῦν, τὸ κάτωθι ὁμόηχον τῆς ἑορτῆς, πρὸς *«Ἀνέστης ἐκ νεκρῶν»*·

Ἐτέχθης ἐπὶ γῆς ὁ προάναρχος Λόγος, προσήχθης τῷ ναῷ ἀκατάληπτος μένων· χαίρων δὲ ὁ πρεσβύτης, ἐν ταῖς ἀγκάλαις σε ὑπεδέξατο, κράζων· Νῦν ἀπολύεις, ὃν ἐπεσκέψω κατὰ τὸ ῥῆμά σου, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Ἀφ᾽ ς΄ ᾠδῆς τὸ κοντάκιον καὶ ὁ οἶκος τοῦ ἱεράρχου καὶ τὸ συναξάριον τῆς ἡμέρας (μετὰ τοῦ ὑπομνήματος τοῦ ἑορταζομένου ἁγίου).

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Χέρσον ἀβυσσοτόκον»*· εἶτα *«Τὴν τιμιωτέραν»*, *«[Θεοτόκε, ἡ ἐλπίς...]Ἐν νόμου σκιᾷ»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ τὸ τοῦ ἁγίου *«Προστάτην σε θερμότατον»* καὶ τῆς ἑορτῆς ὅμοιον *«Ἀτρέπτως καθ᾽ ὑπόστασιν»* (ζήτει τῇ 3ῃ Φεβρουαρίου).

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ τὰ 4 προσόμοια τοῦ ἁγίου, Δόξα, *«Ὅπου ἐπικληθῇ σου»*, Καὶ νῦν, τῆς ἑορτῆς ὁμόηχον *«Ὁ παλαιὸς ἡμερῶν νηπιάσας σαρκί»* (ζήτει εἰς τὴν λιτὴν τῆς 2ας Φεβρουαρίου). Δοξολογία μεγάλη, καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν. Τὰ ἀντίφωνα τῆς ἑορτῆς μετὰ τῶν ἐφυμνίων αὐτῶν ὡς ἐν τῷ Μηναίῳ.

ΕΙΣΟΔΙΚΟΝ *«Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι ἀλληλούια»*.

ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς *«Χαῖρε, κεχαριτωμένη»*, τοῦ ἱεράρχου *«Ὡς τῶν ἀποστόλων ὁμότροπος»*,

καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον τῆς ἑορτῆς *«Ὁ μήτραν παρθενικήν»*.

ΑΝΑΓΝΩΣΜΑΤΑ. Προκείμενον καὶ Ἀπόστολος: τοῦ ἱεράρχου, ζήτει τῇ 13ῃ Νοεμβρίου, *«Τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς»* (Ἑβρ. ζ΄ 26-η΄ 2)· Εὐαγγέλιον: ὁμοίως, *«Ἐγὼ εἰμὶ ἡ θύρα»* (Ἰω. ι΄ 9-16).

Εἰς τὸ *Ἐξαιρέτως* τὸ *«Ἄξιον ἐστί»*. Κοινωνικὸν *«Εἰς μνημόσυνον»*· *«Εἴδομεν τὸ φῶς»*, καὶ τὰ λοιπὰ ὡς συνήθως. Ἡ ἀπόλυσις μετὰ τοῦ χαρακτηριστικοῦ τῆς ἑορτῆς.

7. Σάββατον. Παρθενίου ἐπισκόπου Λαμψάκου (δ΄ αἰ.), Λουκᾶ ὁσίου τοῦ ἐν Στειρίῳ Ἑλλάδος (†946).

Ἀπόστολος: ἡμέρας, Σαβ. λδ΄ ἑβδ. ἐπιστ. (Α΄ Τιμ. ς΄ 11-16).
Εὐαγγέλιον: ἡμέρας, Σαβ. ιζ΄ ἑβδ. Λουκᾶ (Λκ. κ΄ 46-κα΄ 4, η΄ 8).

8. † ΚΥΡΙΑΚΗ μετὰ τὴν ἑορτήν. ΤΟΥ ΑΣΩΤΟΥ (ΙΖ΄ ΛΟΥΚΑ). Θεοδώρου στρατηλάτου μεγαλομάρτυρος (†319), Ζαχαρίου τοῦ προφήτου (†620 π.Χ.). Ἦχος β΄, ἑωθινὸν β΄ (Τ.Μ.Ε., διατάξεις 2ας Φεβρουαρίου §§14-15, καὶ Τριῳδίου, Κυριακὴ τοῦ ἀσώτου §§ 4-6).

Εἰς τὴν θ΄. Ἀπολυτίκιον *«Χαῖρε, κεχαριτωμένη»*· κοντάκιον *«Ὁ μήτραν παρθενικήν»*.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, ἀναστάσιμα 4, τὰ δύο ἰδιόμελα τοῦ Τριῳδίου δευτεροῦντες τὸ πρῶτον, καὶ τῆς ἑορτῆς 3 ἰδιόμελα (2ας Φεβρ.) *«Λέγε, Συμεὼν»* κ.λπ., Δόξα, *«Ὦ πόσων ἀγαθῶν»*, Καὶ νῦν, *«Παρῆλθεν ἡ σκιά»*. Εἴσοδος κ.λπ.. Ἀπόστιχα τὰ ἀναστάσιμα, Δόξα, *«Τῆς πατρικῆς δωρεᾶς»*, Καὶ νῦν, τῆς ἑορτῆς *«Ὁ παλαιὸς ἡμερῶν»* (2 Φεβρ. εἰς τὸ Καὶ νῦν τῆς λιτῆς). Ἀπολυτίκια *«Ὅτε κατῆλθες»*, Δόξα, Καὶ νῦν, *«Χαῖρε, κεχαριτωμένη»*.

Τὸ μεσονυκτικὸν τῆς Κυριακῆς ὡς εἴθισται, καὶ τὸ ἀπολυτίκιον *«Χαῖρε, κεχαριτωμένη»*.

Εἰς τὸν ὄρθρον. Μετὰ τὸν ἑξάψαλμον, εἰς τὸ *«Θεὸς Κύριος»* ἀπολυτίκιον *«Ὅτε κατῆλθες»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, *«Χαῖρε, κεχαριτωμένη»*. [Τὸ ψαλτήριον καὶ ὁ Ἄμωμος.] Καθίσματα τὰ

ἀναστάσιμα ἀλλ' ἀντὶ θεοτοκίων ἀνὰ ἓν τῆς ἑορτῆς. Εὐλογητάρια. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινόν (β΄)· μετὰ τὸν ν΄ ψαλμόν, τὰ ἰδιόμελα *«Τῆς μετανοίας»* κ.λπ., ὡς συνήθως ἐν τῷ Τριῳδίῳ.

ΚΑΝΟΝΕΣ ὁ ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τῆς ἑορτῆς. Ἀπὸ γ΄ ᾠδῆς τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου, τὸ μεσῴδιον κάθισμα τοῦ Τριῳδίου, Δόξα, Καὶ νῦν, τὸ μεσῴδιον τῆς ἑορτῆς *«Ἐν τῷ ὄρει τῷ Σινά»* (Φεβρ. 2). Ἀφ' ς΄ κοντάκιον καὶ οἶκος τοῦ Τριῳδίου, καὶ τὰ συναξάρια Μηναίου καὶ Τριῳδίου.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Χέρσον ἀβυσσοτόκον»· «Τὴν τιμιωτέραν», «[Θεοτόκε ἡ ἐλπίς...] Ἐν νόμου σκιᾷ καὶ γράμματι».*

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ *«Ἅγιος Κύριος»* κ.λπ., τὸ β΄ ἀναστάσιμον *«Τὸν λίθον θεωρήσασαι»,* τὸ τοῦ Τριῳδίου, καὶ τῆς ἑορτῆς *«Ἐν Πνεύματι τῷ ἱερῷ».*

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ ἀναστάσιμα 5 καὶ τοῦ Τριῳδίου 3 *«Τὴν τοῦ ἀσώτου φωνὴν»* κ.λπ., Δόξα, *«Πάτερ ἀγαθέ»,* Καὶ νῦν, *«Ὑπερευλογημένη».* Δοξολογία μεγάλη, *«Σήμερον σωτηρία».*

Εἰς τὴν λειτουργίαν. Τὰ ἀντίφωνα τῆς ἑορτῆς μετὰ τῶν ἐφυμνίων αὐτῶν, ὡς ἀκριβῶς ἔχουν εἰς τὸ Μηναῖον (εἰς τὸ β΄ ἀντίφωνον *«... ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεών...»*). [Ἂν ψαλοῦν τυπικά, εἰς τοὺς μακαρισμοὺς 4 τροπάρια τοῦ ἤχου καὶ 4 ἐκ τῆς ς΄ ᾠδῆς τοῦ κανόνος τοῦ Τριῳδίου].

ΕΙΣΟΔΙΚΟΝ *«Δεῦτε προσκυνήσωμεν... Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς...»*

ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ ἀπολυτίκια *«Ὅτε κατῆλθες», «Χαῖρε, κεχαριτωμένη»,* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον *«Ὁ μήτραν παρθενικήν».*

ΑΝΑΓΝΩΣΜΑΤΑ. Προκείμενον καὶ ἀλληλουιάριον τοῦ ἤχου· Ἀπόστολος: Κυριακῆς λδ΄ ἐπιστολῶν, *«Πάντα μοι ἔξεστιν»* (Α΄ Κορ. ς΄ 12-20)· Εὐαγγέλιον: Κυριακῆς ιζ΄ Λουκᾶ, *«Ἄνθρωπός τις εἶχε δύο υἱούς»* (Λκ. ιε΄ 11-32).

ΚΟΙΝΩΝΙΚΟΝ *«Αἰνεῖτε»· «Εἴδομεν τὸ φῶς», «Πληρωθήτω», «Εἴη τὸ ὄνομα».* Ἀπόλυσις ὡς εἰς τὸν ἑσπερινόν.

Εἴδησις. *Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ τῆς παρούσης πρὸ τῆς ἀπόκρεω ἑβδομάδος δὲν γίνεται κατάλυσις, ἀλλὰ τηρεῖται ἡ συνήθης τῶν ἡμερῶν αὐτῶν νηστεία.*

9. Δευτέρα. Ἀπόδοσις τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς. Νικηφόρου μάρτυρος (†257).

Ἡ ἀκολουθία ψάλλεται ὡς τῇ πρώτῃ ἡμέρᾳ τῆς ἑορτῆς (Φεβρουαρίου 2) ἄνευ τῶν ἀναγνωσμάτων τοῦ ἑσπερινοῦ καὶ τῶν στιχηρῶν τῆς λιτῆς. Ἐν τῷ ὄρθρῳ καταλιμπάνονται ὁ πολυέλεος, τὸ κάθισμα αὐτοῦ, καὶ τὸ Εὐαγγέλιον μετὰ τῆς τάξεως αὐτοῦ· ὅθεν μετὰ τὰ καθίσματα τῶν δύο στιχολογιῶν, ὁ ν΄ ψαλμὸς καὶ εὐθὺς ὁ κανὼν τῆς ἑορτῆς. Συναξάριον ἀναγινώσκεται τὸ τῆς 9ης τοῦ μηνός. Ἐν τῇ λειτουργίᾳ, προκείμενον καὶ ἀλληλουιάριον τῆς ἑορτῆς· Ἀπόστολος: ἡμέρας, Δευτέρας λε΄ ἑβδ. ἐπιστολῶν (Α΄ Ἰω. β΄ 18-γ΄ 8). Εὐαγγέλιον: ἡμέρας, Δευτέρας ἀπόκρεω (Μρ. ια΄ 1-11).

10. Τρίτη. † Χαραλάμπους ἱερομάρτυρος τοῦ θαυματουργοῦ (†202). Ἀναστασίου Ἱεροσολύμων, Ζήνωνος ὁσίου τοῦ ταχυδρόμου (δ΄ αἰ.).

Ἡ ἀκολουθία ψάλλεται δίχα Παρακλητικῆς, ὡς ἔστι διατεταγμένη εἰς τὸ Μηναῖον· τὰ διὰ τὴν λιτὴν στιχηρὰ εἰς τὸ μεσονυκτικόν. Εἰς τὸν ὄρθρον, Εὐαγγέλιον: Τρίτης ιβ΄ ἑβδ. Λουκᾶ (Λκ. κα΄ 12-19)· καταβασίαι οἱ εἱρμοὶ *«Ἀνοίξω τὸ στόμα μου»*. Εἰς τὴν λειτουργίαν, κοντάκιον *«Προστασία»*· Ἀπόστολος: τοῦ ἁγίου, 26 Ὀκτωβρίου, *«Ἐνδυναμοῦ ἐν τῇ χάριτι»* (Β΄ Τιμ. β΄ 1-10)· Εὐαγγέλιον: ὁμοίως, Σαββάτου γ΄ ἑβδ. Ἰωάννου, *«Ταῦτα ἐντέλλομαι ὑμῖν»* (Ἰω. ιε΄ 17-ις΄ 2)· κοινωνικὸν *«Εἰς μνημόσυνον»*.

Σημείωσις. *Ἀπὸ αὔριον ἄρχεται πάλιν ψαλλομένη ἡ Παρακλητική.*

11. Τετάρτη. Βλασίου ἱερομάρτυρος (†316). Θεοδώρας βασιλίσσης (†867) τῆς στερεωσάσης τὴν ὀρθοδοξίαν.

Ἀπόστολος: ἡμέρας, Τετ. λε΄ ἑβδ. ἐπιστ. (Α΄ Ἰω. γ΄ 21-δ΄ 11).
Εὐαγγέλιον: ἡμέρας, Τετ. ἀπόκρεω (Μρ. ιδ΄ 43-ιε΄ 1).

12. Πέμπτη. Μελετίου Ἀντιοχείας (†381). Χρίστου νεομάρτυρος τοῦ κηπουροῦ (†1748).

Ἀπόστολος: ἡμέρας, Πέμ. λε΄ ἑβδ. ἐπιστ. (Α΄ Ἰω. δ΄ 20-ε΄ 20).
Εὐαγγέλιον: ἡμέρας, Πέμπτης ἀπόκρεω (Μρ. ιε΄ 1-15).

13. Παρασκευή. Μαρτινιανοῦ ὁσίου (ε΄ αἰ.). Ἀκύλα καὶ Πρισκίλλης, Εὐλογίου Ἀλεξανδρείας (†607).

Ἀπόστολος: ἡμέρας, Παρ. λε΄ ἑβδ. ἐπιστολῶν (Β΄ Ἰω. 1-13).
Εὐαγγέλιον: ἡμέρας, Παρ. ἀπόκρεω (Μρ. ιε΄ 20, 22, 25, 33-41).

14. † Ψυχοσάββατον. «Μνήμη πάντων τῶν ἀπ᾽ αἰῶνος κεκοιμημένων ὀρθοδόξων χριστιανῶν». Αὐξεντίου ὁσίου (†470). Ἀβραὰμ (ε΄ αἰ.) καὶ Μάρωνος (δ΄ αἰ.) τῶν ὁσίων.

(Τ.Μ.Ε., διάταξις Τριῳδίου §§7-9· τὰ σχετικὰ τοῦ β΄ ἤχου μαρτυρικά, καθίσματα κ.λπ. ζήτει ἐν τέλει τοῦ Τριῳδίου.)

Εἰς τὸν ἑσπερινόν. Ὁ προοιμιακός [καὶ τὸ Ψαλτήριον].

ΕΙΣ ΤΟ *«ΚΥΡΙΕ, ΕΚΕΚΡΑΞΑ»* –εἰς στίχους 6–, ἑσπέρια μαρτυρικὰ τοῦ β΄ ἤχου 3 (*«Τῶν ἁγίων μαρτύρων», «Χοροὶ μαρτύρων ἀντέστησαν», «Μεγάλη ἡ δόξα»*), καὶ προσόμοια τῶν κεκοιμημένων 3 (Σαββάτου πρὸ τῆς Ἀπόκρεω) *«Τῶν ἀπ᾽ αἰῶνος σήμερον»* κ.λπ., Δόξα, τὸ νεκρώσιμον ἰδιόμελον *«Θρηνῶ καὶ ὀδύρομαι»*, Καὶ νῦν, τὸ α΄ θεοτοκίον τοῦ ἤχου τῆς ληγούσης ἑβδομάδος *«Παρῆλθεν ἡ σκιά»*.

ΑΝΕΥ ΕΙΣΟΔΟΥ *«Φῶς ἱλαρόν»*, καὶ ψάλλομεν ἀντὶ τοῦ προκειμένου τῆς ἡμέρας, εἰς ἦχον πλ. δ΄, τὸ *«Ἀλληλούια, ἀλληλούια, ἀλληλούια»* ἐκ τρίτου, εἰς στίχους τὸ μὲν β΄ *«Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε»*, τὸ δὲ γ΄ *«Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν»*· εἶτα εὐθὺς τὸ *«Καταξίωσον»* κ.τ.λ. ὡς συνήθως.

ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ ψάλλεται κανονικῶς* τὸ δ΄ μαρτυρικὸν καὶ τὰ δύο νεκρώσιμα τοῦ ἤχου τῆς ἑβδομάδος, ὡς ἔπονται.

---

* Ἡ διάταξις τοῦ Τ.Μ.Ε. περὶ 4 μαρτυρικῶν εἰς τὰ ἀπόστιχα τοῦ παρόντος ἑσπερινοῦ ὀφείλεται εἰς παλαιὸν τυπογραφικὸν λάθος, ὡς ἔχει καταδειχθῆ ὑπὸ πολλῶν εἰδικῶν ἐρευνητῶν.

Οἱ τὴν ἐπίγειον ἀπόλαυσιν, μὴ ποθήσαντες ἀθλοφόροι, οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ ἀγγέλων συμπολῖται γεγόνασι· Κύριε πρεσβείαις αὐτῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Στίχος. *Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.*

Οἴμοι! οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος! οἴμοι πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! πρὸς τοὺς ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει· πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα· δι' ὃ ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχος. *Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.*

Ἐκ γῆς πλαστουργήσας με, εἰς γῆν πάλιν πορεύεσθαι, τῇ παραβάσει με κατέκρινας· ἔστησας ἡμέραν ἐτάσεως, ἐν ᾗ τὰ κρυπτὰ τῆς ἑκάστου πράξεως, φανερὰ παρίσταται ἐνώπιόν σου· τότε φεῖσαί μου ἀναμάρτητε, καὶ τῶν ἐσφαλμένων μου συγχώρησιν διδούς, τῆς βασιλείας σου μὴ χωρίσῃς με.

Δόξα, *«Ἀρχή μοι καὶ ὑπόστασις»*, Καὶ νῦν, τὸ μετ' αὐτὸ κείμενον θεοτοκίον *«Πρεσβείαις τῆς τεκούσης σε»*.

ΝΕΚΡΩΣΙΜΟΣ ΚΑΝΩΝ. Μετὰ τὸ *«Νῦν ἀπολύεις»* οἱ χοροὶ ψάλλουν τὸν νεκρώσιμον κανόνα τοῦ πλ. β΄ ἤχου *«Ἐν οὐρανίοις θαλάμοις»* ἄνευ τῶν εἱρμῶν εἰς τὰ ἑξῆς προοίμια καὶ στίχους:

τὸ 1ον τροπάριον ἑκάστης ᾠδῆς εἰς τὸ *«Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου»*·

τὸ 2ον τροπάριον εἰς τὸ *«Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται»*·

τὸ 3ον τροπάριον εἰς τὸ *«Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι»*·

τὸ 4ον τροπάριον εἰς τὸ *«Καὶ νῦν καὶ ἀεί»*·

μετὰ τὴν θ΄ ᾠδὴν ὁ εἱρμὸς αὐτῆς *«Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον»* ἄνευ στίχου. Εἶτα τὸ τρισάγιον κ.τ.λ..

ΑΠΟΛΥΤΙΚΙΟΝ *«Ὁ βάθει σοφίας»*, Δόξα, τὸ ἀκροτελεύτιον αὐτοῦ *«Ἐν σοὶ γὰρ τὴν ἐλπίδα»*, Καὶ νῦν, θεοτοκίον *«Σὲ καὶ τεῖχος»*, ὡς ἐν τῷ Τριῳδίῳ. Ἡ ἐκτενὴς *«Ἐλέησον ἡμᾶς, ὁ Θεός»*.

ΝΕΚΡΩΣΙΜΟΝ ΜΝΗΜΟΣΥΝΟΝ. Μετὰ τὴν ἐκφώνησιν *«Ὅτι ἐλεήμων»* ψάλλονται τὰ τροπάρια *«Μετὰ πνευμάτων δικαίων»* κ.λπ., καὶ μετὰ ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς εἰκόνος τοῦ δεσπότου Χριστοῦ, κάτωθι τῆς ὁποίας εὑρίσκονται τὰ ὑπὲρ τῶν ἀποιχομένων κόλλυβα, ἐκφωνεῖ τὸ μνημόσυνον τῶν κεκοιμημένων ὡς ἑξῆς:

«Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον»· ὁ χορὸς *«Κύριε, ἐλέησον» γ΄.*

«Ἔτι δεόμεθα ὑπὲρ αἰωνίου μνήμης καὶ μακαρίας ἀναπαύσεως τῶν ψυχῶν πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν καὶ μοναστριῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν, ἐκ τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον»· ὁ χορὸς *«Κύριε, ἐλέησον» γ΄* χῦμα.

«Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται»· ὁ χορὸς *«Κύριε, ἐλέησον» γ΄* χῦμα.

«Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα»· ὁ χορὸς *«Παράσχου, Κύριε».*

Ὁ ἱερεὺς *«Τοῦ Κυρίου δεηθῶμεν»*, ὁ χορὸς *«Κύριε, ἐλέησον»* ἅπαξ. Ὁ ἱερεὺς τὴν εὐχήν·

«Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταργήσας καὶ τὸν διάβολον καταπατήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, μοναστριῶν καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν

ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθέν, ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις πάντων τῶν κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ...»

Ὁ χορὸς τὸ *«Αἰωνία ἡ μνήμη»* ἐκ τρίτου. Ὁ ἱερεὺς *«Σοφία»· «Ὁ ὢν εὐλογητὸς»* κ.λπ. καὶ ἐκφωνεῖ τὴν συνήθη εὐχὴν τῆς ἀπολύσεως.

Εἰς τὸ μεσονυκτικὸν τοῦ Σαββάτου μετὰ τὸ *«Τὴν πᾶσαν ἐλπίδα μου»*, ἀντὶ τῶν κατανυκτικῶν τροπαρίων *«Ἐλέησον ἡμᾶς, Κύριε»* κ.λπ., τὸ ἀπολυτίκιον *«Ὁ βάθει σοφίας»*.

Εἰς τὸν ὄρθρον. Μετὰ τὰ συνήθη, ἀντὶ τοῦ *«Θεὸς Κύριος»* ψάλλεται ἐξ ὑπαμοιβῆς εἰς ἦχον πλ. δ΄ τὸ *«Ἀλληλούια, ἀλληλούια, ἀλληλούια»* τετράκις, δὶς ἄνευ στίχου καὶ δὶς ἐφύμνιον τῶν στίχων *«Μακάριοι οὓς ἐξελέξω»*, *«Καὶ τὸ μνημόσυνον αὐτῶν»*. Εἶτα τὸ ἀπολυτίκιον μετὰ τοῦ θεοτοκίου, ὡς ἀκριβῶς εἰς τὸν ἑσπερινόν. (Καταλιμπανομένης συνήθως τῆς στιχολογίας τοῦ Ψαλτηρίου) μικρὰ συναπτὴ μετ' ἐκφωνήσεως *«Ὅτι σὸν τὸ κράτος»*.

ΚΑΘΙΣΜΑΤΑ τὰ 3 μαρτυρικὰ τοῦ β΄ ἤχου (βλέπε ἐν τέλει τοῦ Τριῳδίου) *«Ὁ φαιδρύνας τοὺς ἁγίους»* κ.λπ. –εἰς τοὺς οἰκείους στίχους τὰ δύο τελευταῖα–, Δόξα, τὸ νεκρώσιμον, Καὶ νῦν, τὸ α΄ θεοτοκίον τοῦ ἤχου *«Πάντα ὑπὲρ ἔννοιαν»*. Εὐθὺς (ἐν ταῖς ἐνορίαις παραλειπομένου συνήθως τοῦ, εἰς στάσεις δύο, Ἀμώμου) τὰ 8 νεκρώσιμα εὐλογητάρια.

ΝΕΚΡΩΣΙΜΟΝ ΜΝΗΜΟΣΥΝΟΝ. Εἶτα ὁ ἱερεὺς ἐκφωνεῖ τὸ μνημόσυνον τῶν κεκοιμημένων, ὡς ἐσημειώθη εἰς τὸν ἑσπερινόν. Οἱ χοροὶ τὸ ἐν τῷ Τριῳδίῳ κάθισμα *«Ἀνάπαυσον, σωτὴρ ἡμῶν»*, Δόξα, τὸ ἀκροτελεύτιον αὐτοῦ *«Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ»*, Καὶ νῦν, θεοτοκίον *«Ὁ ἐκ παρθένου ἀνατείλας»*.

ΚΑΝΩΝ. Ὁ ν΄ ψαλμὸς χῦμα καὶ ὁ ἐν τῷ Τριῳδίῳ κανὼν μετὰ τῶν εἱρμῶν αὐτοῦ. Στίχοι εἰς τὰ τροπάρια, α) *«Μακάριοι οὓς*

ἐξελέξω καὶ προσελάβου, Κύριε», β) *«Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν»*, γ) *«Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται»*, δ΄) *«Ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου»*. Ἀπὸ γ΄ ᾠδῆς ψάλλεται ὁ εἱρμὸς αὐτῆς *«Ὁ στερεώσας ἐν τῇ χειρί»*, ἡ αἴτησις, καὶ τὸ μεσῴδιον κάθισμα *«Ὁ δι' ἡμᾶς ὑπομείνας»* μετὰ τοῦ θεοτοκίου, ὡς ἐν τῷ Τριῳδίῳ· ἀφ' ς΄ ᾠδῆς ὁ εἱρμὸς αὐτῆς *«Συνεχόμενον δέξαι με»*, ἡ αἴτησις, τὸ νεκρώσιμον κοντάκιον μετὰ τοῦ οἴκου καὶ τὰ συναξάρια τῆς ἡμέρας καὶ τοῦ Τριῳδίου.

Καταβασίαι δὲν λέγονται, ἀλλὰ εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ψάλλεται ὁ εἱρμὸς τῆς η΄ ᾠδῆς *«Τὸν ἐν ὄρει ἁγίῳ»*· *«Τὴν τιμιωτέραν»* εἰς τὸν ἦχον τῶν εἱρμῶν (πλ. δ΄)· εἶτα ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς *«Τὸν προδηλωθέντα»* καὶ τὸ *«Ἄξιον ἐστίν»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ *«Ὁ καὶ νεκρῶν καὶ ζώντων»*, τὸ ἕτερον *«Ἀνάπαυσον τοὺς δούλους σου»* καὶ τὸ θεοτοκίον αὐτῶν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ στιχηρὰ προσόμοια 4 *«Δεῦτε πρὸ τέλους πάντες»* κ.λπ., ὡς ἐν τῷ Τριῳδίῳ. *«Σοὶ δόξα πρέπει»* καὶ ἡ δοξολογία χῦμα. Εἶτα *«Πληρώσωμεν τὴν ἑωθινὴν»* καὶ τὰ λοιπὰ τοῦ ὄρθρου τῶν καθημερινῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, τὰ ἐν τῷ τέλει τοῦ Τριῳδίου 3 νεκρώσιμα τοῦ Θεοφάνους (τοῦ β΄ ἤχου) *«Ῥύμην τοῦ θανάτου»* κ.λπ., εἰς τοὺς πρὸ αὐτῶν στίχους τὰ δύο τελευταῖα, Δόξα, τὸ νεκρώσιμον τοῦ Ψυχοσαββάτου *«Ἄλγος τῷ Ἀδάμ»*, Καὶ νῦν, θεοτοκίον, *«Σὺ εἶ ὁ Θεὸς ἡμῶν»*· *«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»*, τρισάγιον κ.τ.λ..

ΑΠΟΛΥΤΙΚΙΟΝ *«Ὁ βάθει σοφίας»*, Δόξα, Καὶ νῦν, τὸ θεοτοκίον *«Σὲ καὶ τεῖχος καὶ λιμένα»*, ὡς ὁρίζει καὶ τὸ Τ.Μ.Ε. (διάταξις Τριῳδίου, εἰς τὸ τέλος τῆς §8).

Εἰς τὴν λειτουργίαν. Τὰ τυπικὰ καὶ εἰς τοὺς μακαρισμοὺς ἡ γ΄ καὶ ἡ ς΄ ᾠδὴ τοῦ κανόνος τοῦ Ψυχοσαββάτου· ἂν ὅμως ψαλοῦν ἀντίφωνα, λέγονται τὰ συνήθη *(«Ἀγαθὸν τὸ ἐξομολογεῖσθε»)*. Εἰσοδικὸν *«Δεῦτε προσκυνήσωμεν... Σῶσον ἡμᾶς... ὁ ἐν ἁγίοις»*.

ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ ἀπολυτίκια *«Ὁ βάθει σοφίας»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον *«Μετὰ τῶν ἁγίων»*.

ΑΝΑΓΝΩΣΜΑΤΑ. Προκείμενον καὶ ἀλληλουιάριον νεκρώσιμα· Ἀπόστολος κοιμηθέντων, *«Οὐ θέλω ὑμᾶς ἀγνοεῖν»* (Α΄ Θεσ. δ΄ 13-17)· Εὐαγγέλιον Σαββάτου πρὸ τῆς ἀπόκρεω, *«Βλέπετε μὴ πλανηθῆτε»* (Λκ. κα΄ 8-9, 25-27, 35-36).

Εἰς τὸ *Ἐξαιρέτως* τὸ *«Ἄξιον ἐστί»*. Κοινωνικὸν *«Μακάριοι οὓς ἐξελέξω». «Εἴδομεν τὸ φῶς». «Πληρωθήτω».*

ΝΕΚΡΩΣΙΜΟΝ ΜΝΗΜΟΣΥΝΟΝ. Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ψάλλονται τὰ νεκρώσιμα τροπάρια *«Μετὰ πνευμάτων δικαίων»* κ.λπ., καὶ ἐκφωνεῖται παρὰ τοῦ ἱερέως τὸ μνημόσυνον τῶν κεκοιμημένων, ὡς ἐσημειώθη ἐν τῷ ἑσπερινῷ.

ΑΠΟΛΥΣΙΣ. Ὁ ἱερεὺς *«Τοῦ Κυρίου δεηθῶμεν», «Εὐλογία Κυρίου καὶ ἔλεος»*, καὶ ἡ συνήθης ἀπόλυσις τῆς λειτουργίας.

15. † ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΩ. «Μνεία τῆς δευτέρας καὶ ἐνδόξου παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ὀνησίμου ἀποστόλου (†109). Εὐσεβίου ὁσίου (ε΄ αἰ.), Ἀνθίμου ὁσίου (τοῦ Βαγιάνου) τοῦ ἐν Χίῳ (†1960). Ἦχος γ΄, ἑωθινὸν γ΄ (Τ.Μ.Ε., διάταξις Τριῳδίου §§10-12).

Εἰς τὴν θ΄. Ἀπολυτίκιον *«Ὁ βάθει σοφίας»*· κοντάκιον *«Μετὰ τῶν ἁγίων»*.

Εἰς τὸν ἑσπερινόν. Ὁ προοιμιακὸς καὶ τὸ Ψαλτήριον. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, ἀναστάσιμα 6, τοῦ Τριῳδίου προσόμοια 4 *«Ὅταν μέλλῃς ἔρχεσθαι»* κ.λπ., Δόξα, τοῦ Τριῳδίου *«Ὅταν τίθωνται θρόνοι»*, Καὶ νῦν, *«Πῶς μὴ θαυμάσωμεν»*. Εἴσοδος κ.λπ. Ἀπόστιχα τὰ ἀναστάσιμα, Δόξα, *«Οἴμοι, μέλαινα ψυχή»*, Καὶ νῦν, *«Ἀνύμφευτε παρθένε»*. Ἀπολυτίκιον *«Εὐφραινέσθω τὰ οὐράνια»*, Δόξα, Καὶ νῦν, *«Σὲ τὴν μεσιτεύσασαν»*.

Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν τριαδικὸν κανόνα τοῦ ἤχου, Δόξα, τὸ ἐν τῷ Τριῳδίῳ ἰδιόμελον τῆς λιτῆς *«Τὰς τοῦ Κυρίου γνόντες ἐντολάς»*, Καὶ νῦν, θεοτοκίον *«Ὑπὸ τὴν σήν, δέσποινα»*, τὰ τριαδικὰ *«Ἄξιον ἐστί»*, τρισάγιον κ.λπ. καὶ τὰ κατανυκτικὰ τροπάρια *«Ἐλέησον ἡμᾶς, Κύριε»*.

Εἰς τὸν ὄρθρον. Μετὰ τὸν ἑξάψαλμον, εἰς τὸ *«Θεὸς Κύριος»* ἀπολυτίκιον *«Εὐφραινέσθω τὰ οὐράνια»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, *«Σὲ τὴν μεσιτεύσασαν»*. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος *«Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος»*.] Καθίσματα τὰ ἀναστάσιμα κατὰ

σειρὰν καὶ τὰ εὐλογητάρια. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινόν (γ΄)· μετὰ τὸν ν΄ ψαλμόν, τὰ τροπάρια *«Τῆς μετανοίας»* κ.λπ., ὡς συνήθως ἐν τῷ Τριῳδίῳ.

ΚΑΝΟΝΕΣ, ὁ ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου· ἀπὸ γ΄ ᾠδῆς τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου καὶ τὰ μεσῴδια τοῦ Τριῳδίου καθίσματα (παραλειπομένου τοῦ θεοτοκίου *«Τὸν πάντων ποιητήν»*)· ἀφ᾽ ς΄ τὸ κοντάκιον καὶ ὁ οἶκος τοῦ Τριῳδίου καὶ τὰ συναξάρια Μηναίου καὶ Τριῳδίου.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Βοηθὸς καὶ σκεπαστής». «Τὴν τιμιωτέραν»*, ὁ εἱρμὸς *«Ἀσπόρου συλλήψεως»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ *«Ἅγιος Κύριος»* κ.λπ., τὸ γ΄ ἀναστάσιμον *«Ὅτι Χριστὸς ἐγήγερται»*, καὶ τὰ τοῦ Τριῳδίου μετὰ τοῦ θεοτοκίου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ στιχηρὰ ἀναστάσιμα 5 καὶ τοῦ Τριῳδίου ἰδιόμελα 3 *«Ἐννοῶ τὴν ἡμέραν ἐκείνην»* κ.λπ., Δόξα, *«Προκαθάρωμεν ἑαυτούς»*, Καὶ νῦν, *«Ὑπερευλογημένη»*, δοξολογία μεγάλη, *«Σήμερον σωτηρία»*.

Εἰς τὴν λειτουργίαν. Τὰ συνήθη ἀντίφωνα [ἢ τὰ τυπικὰ καὶ εἰς τοὺς μακαρισμοὺς 4 τροπάρια τοῦ ἤχου καὶ ἡ ς΄ ᾠδὴ τοῦ κανόνος τῆς Ἀπόκρεω εἰς 4]. Μετὰ τὴν εἴσοδον, ἀπολυτίκια *«Εὐφραινέσθω τὰ οὐράνια»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον τοῦ Τριῳδίου *«Ὅταν ἔλθῃς, ὁ Θεός»*. Προκείμενον καὶ ἀλληλουιάριον τὰ εἰδικὰ τῆς Κυριακῆς* · Ἀπόστολος: Κυρ. ἀπόκρεω, *«Βρῶμα ἡμᾶς οὐ παρίστησιν»* (Α΄ Κορ. η΄ 8-θ΄ 2)· Εὐαγγέλιον: ὁμοίως, *«Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου»* (Μτθ. κε΄ 31-46). Κοινωνικὸν *«Αἰνεῖτε»* καὶ τὰ λοιπὰ τῆς λειτουργίας.

Εἰδήσεις. *1. Εἰς πάσας τὰς ἡμέρας τῆς παρούσης ἑβδομάδος, προοίμιον καὶ θυρανοίξια οὔσης τῆς μεγάλης τεσσαρακοστῆς νηστείας, μόνον διὰ τυροῦ, ὠῶν καὶ ἰχθύων καταλύομεν, ἀπέχομεν δὲ κρέατος.*

---

* Προκείμενον, ἦχος βαρύς, *«Μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ»*, στίχ. *«Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός»*. — Ἀλληλουιάριον, ἦχος πλ. δ΄, στίχ. α΄ *«Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν»*, β΄ *«Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει»*.

2. Αἱ ἀκολουθίαι τῶν καθημερινῶν μέχρι τοῦ Σαββάτου τῆς Τυρινῆς διεξάγονται ὡς διατάττονται ἐν τῷ Τριῳδίῳ, ἐκτὸς ἂν τύχῃ ἑορτὴ ἢ μνήμη ἁγίου (πρβλ. Τ.Μ.Ε., τυπικὴ διάταξις Τριῳδίου §13).

16. Δευτέρα τῆς τυρινῆς. Παμφίλου μάρτυρος (†307) καὶ τῶν σὺν αὐτῷ. Φλαβιανοῦ πατριάρχου Κωνσταντινουπόλεως.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, ἑσπέρια τῆς Παρακλητικῆς 3 (ἐκ τῆς α΄ ὁμάδος δύο καὶ ἓν ἐκ τῆς β΄ ὁμάδος στιχηρῶν) καὶ τοῦ Μηναίου προσόμοια 3, Δόξα, Καὶ νῦν, τὸ προσόμοιον θεοτοκίον τοῦ Μηναίου. Ἄνευ εἰσόδου *«Φῶς ἱλαρόν»*, τὸ προκείμενον τῆς ἡμέρας κ.τ.λ.. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τοῦ Τριῳδίου (σήμερον *«Λιχνευσάμενοι, τὴν πρώτην ὑπέστημεν γύμνωσιν»*) δίς, τὸ μαρτυρικὸν ἅπαξ, Δόξα, Καὶ νῦν, τὸ θεοτοκίον. Τὸ ἀπολυτίκιον τῆς ἡμέρας τῆς ἑβδομάδος (σήμερον *«Τῶν οὐρανίων στρατιῶν»*), Δόξα, Καὶ νῦν, ὁμόηχον θεοτοκίον τῶν καθημερινῶν (σήμερον *«Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ»*) [βλ. εἰς Ὡρολόγιον], καὶ ἀπόλυσις.

Εἰς τὸν ὄρθρον. Ψάλλεται ἡ ἀκολουθία τῆς ἡμέρας ὡς διατάττεται ἐν τῷ Τριῳδίῳ. Κανόνες, οἱ δύο τῆς Παρακλητικῆς, ὁ τοῦ Μηναίου καὶ οἱ δύο τριῴδιοι κανόνες τοῦ Τριῳδίου, ἀλλὰ εἰς ὅσας ᾠδὰς λέγομεν τὰ δύο τριῴδια καταλιμπάνομεν τὰς ᾠδὰς τῆς Παρακλητικῆς καὶ τοῦ Μηναίου (σήμερον αὐτὸ συμβαίνει εἰς τὰς ᾠδὰς α΄, η΄ καὶ θ΄)· εἰς τὴν ἀρχὴν ἑκάστης ᾠδῆς λέγεται ὁ εἱρμὸς μόνον τοῦ πρώτου κανόνος. Δὲν ψάλλονται καταβασίαι, ἀλλὰ μόνον οἱ εἱρμοὶ ἐν τέλει τῶν ᾠδῶν γ΄, ς΄, η΄ καὶ θ΄ εἰς τὴν τάξιν αὐτῶν· καὶ ἡ λοιπὴ ἀκολουθία ὡς εἴθισται, κατὰ τὴν τάξιν τοῦ Τριῳδίου.

Εἰς τὴν λειτουργίαν. Μετὰ τὴν εἴσοδον, τὸ ἀπολυτίκιον τῆς ἡμέρας τῆς ἑβδομάδος, καὶ τὸ τοῦ ἁγίου τοῦ ναοῦ· κοντάκιον τῆς ἡμέρας [καὶ *«Προστασία»*]. Ἀναγνώσματα τῆς ἡμέρας [σήμερον Ἀπόστολος: Δευτ. Τυροφάγου (Γ΄ Ἰωάν. 1-15)· Εὐαγγέλιον: ὁμοίως (Λκ. ιθ΄ 29-40, κβ΄ 7-39)]· κοινωνικὸν τῆς ἡμέρας.

17. Τρίτη τῆς τυρινῆς. Θεοδώρου μεγαλομάρτυρος τοῦ Τήρωνος (†307). Μαρκιανοῦ καὶ Πουλχερίας βασιλέων· Θεοδώρου νεομάρτυρος τοῦ ἐν Μυτιλήνῃ (†1795).

Αἱ ἀκολουθίαι διεξάγονται ὡς προδεδήλωται χθὲς Δευτέρᾳ.

Ἀπόστολος: Τρίτης Τυροφάγου (Ἰούδα 1-10).

Εὐαγγέλιον: ὁμοίως (Λκ. κβ΄ 39-42, 45-κγ΄ 1).

18. Τετάρτη τῆς τυρινῆς. Λέοντος πάπα Ῥώμης (†461). Ἀγαπητοῦ ἐπισκόπου Σινάου τοῦ ὁμολογητοῦ (δ΄ αἰ.).

Σήμερον δὲν τελεῖται θεία λειτουργία.

Αἱ λοιπαὶ ἀκολουθίαι διεξάγονται ὡς προδεδήλωται τῇ Δευτέρᾳ, ἀλλὰ τῇ Τρίτῃ καὶ Πέμπτῃ ἑσπέρας τῆς παρούσης ἑβδομάδος ἀντὶ προκειμένου ψάλλεται τὸ *«Ἀλληλούια»* (γ΄) μετὰ τῶν οἰκείων στίχων, ἐν τέλει δὲ τοῦ ἑσπερινοῦ ἀντὶ ἀπολυτικίου ψάλλεται τὸ *«Θεοτόκε παρθένε»*, διότι δὲν τελεῖται λειτουργία τῇ ἑπομένῃ ἡμέρᾳ· ποιοῦμεν δὲ καὶ μετανοίας, τὸ *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα, Καὶ νῦν, *«Τὴν τιμιωτέραν»*, καὶ ἀπόλυσις. Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ εἰς τὸν ὄρθρον, εἰς ὅσας ᾠδὰς τὸ Τριῴδιον ἔχει μόνον ἕνα κανόνα, προηγεῖται καὶ ὁ κανὼν τοῦ Μηναίου, ἀλλ᾽ εἰς τὰς λοιπὰς ᾠδὰς λέγονται μόνον τὰ δύο τριῴδια.

Εἴδησις. *Κατ᾽ ἔθος ἐπικρατῆσαν εἰς ἅπασαν τὴν Ὀρθόδοξον Ἐκκλησίαν, τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ τῆς τυρινῆς ἑβδομάδος οὔτε τελεία θ. λειτουργία οὔτε προηγιασμένη τελεῖται· ἐκτὸς ἂν τύχῃ ἐν ταῖς ἡμέραις αὐταῖς μνήμη ἑορταζομένου ἁγίου, ὁπότε καταλιμπάνεται ἡ ἀκολουθία τοῦ Τριῳδίου καὶ ψάλλεται μόνον ἡ τοῦ ἁγίου τοιαύτη, τελεῖται δὲ ἡ θ. λειτουργία τοῦ ἱεροῦ Χρυσοστόμου.*

19. Πέμπτη τῆς τυρινῆς. Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας (α΄ αἰών). Φιλοθέης ὁσιομάρτυρος τῆς Ἀθηναίας (†1589).

Αἱ ἀκολουθίαι διεξάγονται ὡς προδεδήλωται τῇ Δευτέρᾳ.

Ἀπόστολος: Πέμπτης Τυροφάγου (Ἰούδα 11-25).

Εὐαγγέλιον: ὁμοίως (Λκ. κγ΄ 1-31, 33, 44-56).

Σημείωσις. *Εἰς τοὺς ἑορτάζοντας τὴν ἁγίαν Φιλοθέην ναοὺς ἡ ἀκολουθία ψάλλεται ἐκ τῆς ἰδιαιτέρας φυλλάδος αὐτῆς· ἡ δὲ ἀκολουθία τοῦ Τριῳδίου καταλιμπάνεται.*

20. Παρασκευὴ τῆς τυρινῆς. Λέοντος ἐπισκόπου Κατάνης († 780). Βησσαρίωνος ὁσίου, Πλωτίνου ὁσίου.

Σήμερον δὲν τελεῖται θεία λειτουργία.

Σημείωσις. *Αἱ λοιπαὶ ἀκολουθίαι διεξάγονται ὡς προδεδήλωται τῇ Δευτέρᾳ καὶ τῇ Τετάρτῃ. Εἰς τὸν ὄρθρον τῆς σήμερον ἡ θ΄ ᾠδὴ τῶν κανόνων τοῦ Τριῳδίου εἶναι συνήθως ἐλλιπής, ὑπάρχει δὲ πλήρης μόνον εἰς τὴν ὑπὸ τῆς Ἀπ. Διακονίας ἔκδοσιν τοῦ Τριῳδίου (Ἀθῆναι 2014), ἐπιμελείᾳ τοῦ ἀοιδίμου ἱερέως Κων. Παπαγιάννη.*

21. Σάββατον τῆς τυρινῆς. † «Τῶν ἐν ἀσκήσει λαμψάντων ἁγίων ἀνδρῶν καὶ γυναικῶν». Τιμοθέου ὁσίου τοῦ ἐν Συμβόλοις (θ΄ αἰ.). Εὐσταθίου Ἀντιοχείας (†360), Ζαχαρίου Ἱεροσολύμων (†633), Ἰωάννου Κων/πόλεως (†577).

Εἰς τὴν θ΄, ἀναγινωσκομένην λιτήν, ἀντὶ ἀπολυτικίου καὶ κοντακίου τὰ τροπάρια τῆς ὥρας.

Ἡ ἀκολουθία ψάλλεται ὡς ἐν τῷ Τριῳδίῳ (ἄνευ τοῦ Μηναίου). Εἰς τὸν ἑσπερινόν, Καὶ νῦν τῶν ἑσπερίων τὸ α΄ θεοτοκίον τοῦ ἤχου *«Πῶς μὴ θαυμάσωμεν»*· εἴσοδος δὲν γίνεται. Εἰς τὸν ὄρθρον, καταβασίαι οἱ εἱρμοὶ τοῦ κανόνος τῶν πατέρων *«Ἆσμα ἀναπέμψωμεν»*· *«Τὴν τιμιωτέραν»*, *«Τὸν προδηλωθέντα»*· εἰς τὸ Καὶ νῦν τῶν αἴνων *«Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος... μετὰ τῶν ὁσίων...»* Εἰς τὴν λειτουργίαν, τὸ ἀπολυτίκιον *«Ὁ Θεὸς τῶν πατέρων ἡμῶν»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ· κοντάκιον *«Προστασία»*· προκείμενον ὁσιακὸν *«Καυχήσονται ὅσιοι ἐν δόξῃ»* καὶ στίχος *«Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν»*· Ἀπόστολος: ὁσιακός, Σαββάτου κζ΄ ἑβδ. ἐπιστολῶν, *«Ὁ καρπὸς τοῦ Πνεύματος»* (Γαλ. ε΄ 22-ς΄ 2)· Εὐαγγέλιον: τῆς ἡμέρας, Σαββάτου Τυροφάγου, *«Προσέχετε τὴν ἐλεημοσύνην»* (Μτθ. ς΄ 1-13)· κοινωνικὸν *«Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι»*.

22. † ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΙΝΗΣ. «Ἀνάμνησις τῆς ἀπὸ τοῦ παραδείσου ἐξορίας τοῦ πρωτοπλάστου Ἀδάμ». Ἡ εὕρεσις τῶν ἱ. λειψάνων τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου (†395-423). Ἦχος δ΄, ἑωθινὸν δ΄ (Τ.Μ.Ε., διατάξεις Τριῳδίου §§14-16).

Εἰς τὴν θ΄. Ἀπολυτίκιον *«Ὁ Θεὸς τῶν πατέρων ἡμῶν»*· κοντάκιον *«Ὡς εὐσεβείας κήρυκας»*.

Εἰς τὸν ἑσπερινόν. Ὁ προοιμιακὸς καὶ τὸ Ψαλτήριον. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, ἀναστάσιμα 6, τοῦ Τριῳδίου 4, Δόξα, *«Ἐκάθισεν Ἀδάμ»*, Καὶ νῦν, *«Ὁ διὰ σὲ θεοπάτωρ»*. Εἴσοδος κ.λπ.. Ἀπόστιχα τὰ ἀναστάσιμα, Δόξα, *«Ἐξεβλήθη Ἀδάμ»*, Καὶ νῦν, *«Ὁ ποιητὴς καὶ λυτρωτής μου»*. Ἀπολυτίκιον *«Τὸ φαιδρὸν τῆς ἀναστάσεως»*, Δόξα, Καὶ νῦν, *«Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον»*.

Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν τριαδικὸν κανόνα τοῦ ἤχου, Δόξα, τὸ ἐν τῷ Τριῳδίῳ διὰ τὴν λιτὴν ἰδιόμελον *«Ἥλιος ἀκτῖνας»*, Καὶ νῦν, θεοτοκίον *«Μυστικῶς ἀνυμνοῦμεν»*, τὰ τριαδικὰ *«Ἄξιον ἐστί»*, τρισάγιον κ.λπ. καὶ τὰ 3 κατανυκτικὰ τροπάρια *«Ἐλέησον ἡμᾶς, Κύριε»* κ.λπ..

Εἴδησις. *Κατὰ τὴν παροῦσαν ἑβδομάδα θὰ τελεσθοῦν τρεῖς θεῖαι λειτουργίαι προηγιασμένων δώρων.*

Εἰς τὸν ὄρθρον. Μετὰ τὸν ἑξάψαλμον, εἰς τὸ *«Θεὸς Κύριος»* τὸ ἀπολυτίκιον *«Τὸ φαιδρὸν τῆς ἀναστάσεως»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, *«Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον»*. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος *«Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος»*.] Καθίσματα τὰ ἀναστάσιμα κατὰ σειρὰν καὶ τὰ εὐλογητάρια. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινόν (δ΄)· μετὰ τὸν ν΄ ψαλμόν, τὰ τροπάρια *«Τῆς μετανοίας»* κ.λπ., ὡς συνήθως ἐν τῷ Τριῳδίῳ.

ΚΑΝΟΝΕΣ, ὁ ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου· ἀπὸ γ΄ ᾠδῆς τὸ ἀναστάσιμον κοντάκιον καὶ ὁ οἶκος καὶ τὰ μεσῴδια καθίσματα τοῦ Τριῳδίου· ἀφ' ς΄ κοντάκιον καὶ οἶκος τοῦ Τριῳδίου, τὸ μηνολόγιον τῆς ἡμέρας καὶ τὸ ὑπόμνημα τοῦ Τριῳδίου.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Ὡς ἐν ἠπείρῳ πεζεύσας»*· *«Τὴν τιμιωτέραν»*, ὁ εἱρμὸς *«Θεὸν ἀνθρώποις»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ *«Ἅγιος Κύριος»* κ.λπ., τὸ δ΄ ἀναστάσιμον *«Ταῖς ἀρεταῖς ἀστράψαντες»* καὶ τὰ δύο τοῦ Τριῳδίου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ ἀναστάσιμα 5 καὶ τοῦ Τριῳδίου ἰδιόμελα 3 *«Οἴμοι! ὁ Ἀδὰμ»* κ.λπ., Δόξα, *«Ἔφθασε καιρός»*,

Καὶ νῦν, *«Ὑπερευλογημένη»*, δοξολογία μεγάλη, *«Σήμερον σωτηρία»*.

Εἰς τὴν λειτουργίαν. Τὰ συνήθη ἀντίφωνα [ἢ τὰ τυπικὰ καὶ εἰς τοὺς μακαρισμοὺς 4 τροπάρια τοῦ ἤχου καὶ ἡ ς΄ ᾠδὴ τοῦ κανόνος τῆς Τυρινῆς εἰς 4]. Μετὰ τὴν εἴσοδον, ἀπολυτίκια *«Τὸ φαιδρὸν τῆς ἀναστάσεως»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον τοῦ Τριῳδίου *«Τῆς σοφίας ὁδηγέ»*. Προκείμενον καὶ ἀλληλουιάριον τὰ εἰδικὰ τῆς ἡμέρας (βλέπε ἐν τῷ Τριῳδίῳ)· Ἀπόστολος: Κυριακῆς τῆς τυρινῆς, *«Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία»* (Ρωμ. ιγ΄ 11-ιδ΄ 4)· Εὐαγγέλιον: ὁμοίως, *«Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν»* (Μτθ. ς΄ 14-21). *«Ἄξιον ἐστί»*. Κοινωνικὸν *«Αἰνεῖτε»*, καὶ τὰ λοιπὰ τῆς λειτουργίας.

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας. Εἰς τὴν θ΄. Ἀπολυτίκιον *«Τὸ φαιδρὸν τῆς ἀναστάσεως»*· κοντάκιον *«Τῆς σοφίας, ὁδηγέ»*.

Εἰς τὸν ἑσπερινόν. Ὁ προοιμιακός (ἄνευ Ψαλτηρίου). Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* (λεγόμενον σύντομον) ἀπὸ τοῦ στίχου *«Ἐξάγαγε ἐκ φυλακῆς»* τὰ 4 κατανυκτικὰ τοῦ δ΄ ἤχου (ζήτει αὐτὰ ἐν τέλει τοῦ Τριῳδίου) *«Ἤθελον δάκρυσιν ἐξαλεῖψαι»* κ.λπ., προσόμοια τοῦ Τριῳδίου 3 *«Ἐγκρατείᾳ τὴν σάρκα»* κ.λπ. (Κυριακῇ Τυρινῆς ἑσπέρας) καὶ τοῦ Μηναίου (Φεβρουαρίου 23) ἕτερα 3, Δόξα, Καὶ νῦν, τὸ ἐν συνεχείᾳ προσόμοιον θεοτοκίον. Γίνεται εἴσοδος μετὰ θυμιατοῦ διὰ τὸ μέγα προκείμενον *«Μὴ ἀποστρέψῃς»*, ὅ περ ψάλλεται κατὰ τὴν ἐν τῷ Τριῳδίῳ τάξιν. Ἀπόστιχα ὡς ἐν τῷ Τριῳδίῳ· *«Νῦν ἀπολύεις»*, τρισάγιον κ.λπ., *«Ὅτι σοῦ ἐστίν»*, οἱ χοροὶ τὰ τροπάρια *«Θεοτόκε παρθένε»*, *«Βαπτιστὰ τοῦ Χριστοῦ»*, κ.λπ.· *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα, Καὶ νῦν, *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ»*· ὁ ἱερεὺς *«Ὁ ὢν εὐλογητός»*, *«Ἐπουράνιε βασιλεῦ»*, αἱ τρεῖς μεγ. μετάνοιαι μετὰ τῆς οἰκείας εὐχῆς, καὶ ἡ (μεγ.) ἀπόλυσις *«Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν»* (ἐν ᾗ μνημονεύεται ὁ ἅγιος τῆς ἑπομένης ἡμέρας)· πρὸ τοῦ *«Δι΄ εὐχῶν»* ὁ β΄ χορὸς ψάλλει

τὸ *«Πάντων προστατεύεις, ἀγαθή»*, κατὰ τὴν διάρκειαν τοῦ ὁποίου παρέχεται διὰ τοῦ ἱερέως ἡ συγχώρησις, καὶ εἶτα τὸ *«Δι' εὐχῶν»* (Τ.Μ.Ε., διατάξεις Τριῳδίου §17).

Εἴδησις. *Ἡ τάξις αὕτη τηρεῖται κατὰ τοὺς κατανυκτικοὺς ἑσπερινοὺς καὶ τῶν ἑπομένων πέντε Κυριακῶν τῶν νηστειῶν, ἐναλλασσομένων τῶν κατανυκτικῶν τροπαρίων τῶν ἤχων ἑκάστης ἑβδομάδος καὶ τῶν λοιπῶν τροπαρίων τοῦ Τριῳδίου.*

23. † Καθαρὰ Δευτέρα. Πολυκάρπου ἱερομάρτυρος ἐπισκόπου Σμύρνης (†166).

Ἄρχεται ἡ ἁγία καὶ μεγάλη Τεσσαρακοστή

Τῇ Δευτέρᾳ πρωὶ παραλείπεται τὸ μεσονυκτικὸν μόνον σήμερον «διὰ τὴν τῆς ἑσπέρας παράκλησιν»· ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς Τεσσαρακοστῆς λέγεται ὡς συνήθως.

Εἰς τὸν ὄρθρον. *«Εὐλογητὸς ὁ Θεός»*, *«Βασιλεῦ οὐράνιε»*, τρισάγιον κ.τ.λ., *«Κύριε, ἐλέησον»* (ιβ΄), Δόξα, Καὶ νῦν, *«Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ»*, καὶ ὁ ἱερεὺς εὐθὺς *«Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ»*, ὁ δὲ ἀναγνώστης τὸν ἑξάψαλμον (ἐν ταῖς λοιπαῖς ἡμέραις ἡ ἔναρξις τοῦ ὄρθρου γίνεται ὡς συνήθως μετὰ τῶν τροπαρίων *«Σῶσον, Κύριε, τὸν λαόν σου»* κ.λπ.). Ἡ λοιπὴ ἀκολουθία τῆς ἡμέρας διεξάγεται ὡς διατάσσεται εἰς τὸ λειτουργικὸν βιβλίον τοῦ Τριῳδίου καὶ εἰς τὸ Τ.Μ.Ε. (διατάξεις Τριῳδίου §§18-20)· ἀλλ' ἐν ταῖς ἐνορίαις παραλείπονται ὡς συνήθως τὰ καθίσματα τοῦ Ψαλτηρίου.

Ἀντὶ τοῦ *«Θεὸς Κύριος»* ψάλλεται εἰς τὸν ἦχον τῆς ἑβδομάδος τὸ ἀλληλουιάριον τετράκις μὲ τοὺς στίχους αὐτοῦ ὡς ἐν τῷ Ὡρολογίῳ. Εἶτα οἱ τριαδικοὶ ὕμνοι τοῦ ἤχου τῆς ἑβδομάδος (βλέπε ἐν τῷ τέλει τοῦ Τριῳδίου), τῶν ὁποίων ἡ συμπλήρωσις γίνεται ἀναλόγως τῆς ἡμέρας τῆς ἑβδομάδος ὡς ὁρίζεται εἰς τὸ Τ.Μ.Ε. (διάταξις Τριῳδίου, ὑποσημ. 10) καὶ εἰς τὸ λειτουργικὸν βιβλίον τοῦ Τριῳδίου. Μικρὰ συναπτή. Καθίσματα, εἰς μὲν τὴν α΄ στιχολογίαν, τὰ κατανυκτικὰ τοῦ ἤχου τῆς ἑβδομάδος (ζήτει εἰς τὸ τέλος τοῦ Τριῳδίου)· εἰς δὲ τὴν β΄ καὶ γ΄ στιχολογίαν τὰ τῆς ἡμέρας τοῦ Τριῳδίου.

Ὁ ν΄ ψαλμὸς χῦμα, τὸ *«Σῶσον, ὁ Θεός»*, *«Κύριε, ἐλέησον»* (ιβ΄), ἡ ἐκφώνησις *«Ἐλέει καὶ οἰκτιρμοῖς»* καὶ ἐν συνεχείᾳ στιχολογοῦνται αἱ ἐννέα βιβλικαὶ ᾠδαὶ κατὰ τὴν τάξιν αὐτῶν. Εἶτα, ἄνευ προϋμνίου ἢ στίχου τινός, οἱ κανόνες ὡς ἐξῆς· εἰς ὅσας ᾠδὰς ὑπάρχουν τριῴδια προηγεῖται ὁ κανὼν τοῦ Μηναίου μετὰ τῶν εἱρμῶν αὐτοῦ καὶ ἔπονται τὰ τριῴδια, εἰς δὲ τὰς λοιπὰς ᾠδὰς μόνον ὁ κανὼν τοῦ Μηναίου. Εἰς τὸ τέλος τῆς γ΄ ᾠδῆς τοῦ κανόνος τοῦ Μηναίου (ἢ τοῦ τριῳδίου) ψάλλεται πάλιν ὁ εἱρμὸς αὐτῆς, αἴτησις, ἐκφώνησις *«Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν»* καὶ τὸ μεσῴδιον κάθισμα τοῦ Μηναίου μετὰ τοῦ θεοτοκίου ἢ σταυροθεοτοκίου. Εἰς τὸ τέλος τῆς ς΄ ᾠδῆς τοῦ κανόνος τοῦ Μηναίου (ἢ τοῦ τριῳδίου) ψάλλεται πάλιν ὁ εἱρμὸς αὐτῆς, αἴτησις καὶ ἐκφώνησις *«Σὺ γὰρ εἶ ὁ βασιλεύς»*. Εἶτα ἀντὶ κοντακίου τὸ ἐνδιάτακτον μαρτυρικὸν κάθισμα (ζήτει ἐν τέλει τοῦ Τριῳδίου· τὸ τυχὸν κοντάκιον τοῦ Μηναίου καταλιμπάνεται), καὶ τὸ συναξάριον. Εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ὁ εἱρμὸς τῆς η΄ ᾠδῆς τοῦ β΄ τριῳδίου, *«Τὴν Θεοτόκον καὶ μητέρα»* καὶ στιχολογοῦμεν τὸ *«Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον»* ἐπισυνάπτοντες *«Τὴν τιμιωτέραν»* (εἰς τὸν ἦχον τῶν εἱρμῶν τοῦ Τριῳδίου)· εἶτα ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ β΄ τριῳδίου καὶ τὸ *«Ἄξιον ἐστίν»*.

Αἴτησις, ἐκφώνησις *«Ὅτι σὲ αἰνοῦσι»*, καὶ ἀντὶ ἐξαποστειλαρίου τὸ Φωταγωγικὸν τοῦ ἤχου τῆς ἑβδομάδος (ἐκ τρίτου) μετὰ τῆς οἰκείας συμπληρώσεως αὐτοῦ. [Μετὰ τοὺς ψαλμοὺς τῶν αἴνων] εὐθὺς *«Σοὶ δόξα πρέπει»* καὶ ἡ δοξολογία χῦμα. Εἰς τὸν στίχον τῶν αἴνων ἅπαντα ὡς ἐν τῷ Τριῳδίῳ. *«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»*, τρισάγιον κ.λπ., *«Ἐν τῷ ναῷ ἑστῶτες»*, *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα, Καὶ νῦν, *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*· ὁ ἱερεὺς *«Ὁ ὢν εὐλογητός»*, τὸ *«Ἐπουράνιε βασιλεῦ»*, αἱ τρεῖς μεγάλαι μετάνοιαι μετὰ τῆς εὐχῆς *«Κύριε καὶ δέσποτα τῆς ζωῆς μου»* καὶ εὐθὺς ἐπισυνάπτονται

ΑΙ ΩΡΑΙ, ἀρχόμεναι πᾶσαι μετὰ τοῦ *«Δεῦτε προσκυνήσωμεν»* γ΄, κατὰ τὴν τάξιν τοῦ Τριῳδίου καὶ τοῦ Ὡρολογίου

(ἀλλ᾽ ἐν ταῖς ἐνορίαις μετὰ τὴν εὐχὴν *«Κύριε καὶ Δέσποτα»* παραλείπεται τὸ τρισάγιον καὶ λέγεται εὐθὺς ἡ εὐχὴ ἑκάστης ὥρας). Μετὰ τὴν θ΄ ὥραν ἄρχεται

Ὁ ἑσπερινός (ἄνευ προηγιασμένων δώρων). Μετὰ τὰς 3 μεγ. μετανοίας τῆς θ΄ ὥρας, εὐθὺς *«Δεῦτε προσκυνήσωμεν»* γ΄ καὶ ὁ προοιμιακός [καὶ τὸ ιη΄ κάθισμα τοῦ Ψαλτηρίου]. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, εἰς στίχους 6, προσόμοια τῆς σειρᾶς 3 ἐκ τοῦ Τριῳδίου, καὶ 3 στιχηρὰ τοῦ ἁγίου τῆς ἑπομένης ἡμέρας ἐκ τοῦ Μηναίου, Δόξα, Καὶ νῦν, θεοτοκίον προσόμοιον τοῦ Μηναίου (ἢ ἐν Τρίτῃ καὶ Πέμπτῃ ἑσπέρας σταυροθεοτοκίον ἢ ἐν ἑκάστῃ Παρασκευῇ ἑσπέρας τὸ α΄ θεοτοκίον τοῦ ἤχου τῆς ἑβδομάδος).

Εἰδικῶς δὲ διὰ σήμερον, εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, στιχηρὰ προσόμοια τοῦ Τριῳδίου 3 *«Πᾶσαν ἁμαρτίαν»* κ.λπ., καὶ 3 τοῦ Προδρόμου (24 Φεβρ.) *«Χαίροις, ἡ ἱερὰ κεφαλὴ»* κ.λπ., Δόξα, Καὶ νῦν, τὸ ἑξῆς θεοτοκίον προσόμοιον (ἐκ τῆς Παρακλητικῆς)·

Στῆσον τοὺς ποταμοὺς τῶν παθῶν, τῆς ἁμαρτίας μου τὸ πέλαγος ξήρανον, τῷ ῥείθρῳ τῆς σῆς πρεσβείας, καὶ πρὸς λιμένα Θεοῦ, θείων θελημάτων ἐγκαθόρμισον, ἐχθροὺς καθ᾽ ἑκάστην τοὺς τὴν ψυχήν μου ἐκθλίβοντας, καὶ ταῖς ἀτόποις ἡδοναῖς ἐκταράττοντας, καταπόντισον ἀπωλείας εἰς βάραθρα· πλήρωσον εὐφροσύνης καὶ χαρᾶς τὴν καρδίαν μου, λῦσον τὸ νέφος βοῶ σοι, τῆς ἀθυμίας μου Πάναγνε, Χριστὸν δυσωποῦσα, τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Ἄνευ εἰσόδου *«Φῶς ἱλαρόν»*, ὁ ἱερεὺς *«Ἑσπέρας»*, ὁ ἀναγνώστης τὰ ἀναγνώσματα μετὰ τῶν οἰκείων προκειμένων καὶ τῶν στίχων αὐτῶν ὡς ἐν τῷ Τριῳδίῳ, τὸ *«Καταξίωσον»*, ὁ ἱερεὺς *«Πληρώσωμεν τὴν ἑσπερινὴν»* κ.τ.λ. ὡς συνήθως.

Εἰς τὸν στίχον ἅπαντα τοῦ Τριῳδίου κατὰ τὴν ἐν αὐτῷ τάξιν. *«Νῦν ἀπολύεις»*, τρισάγιον κ.λπ., εἰς ἦχον πλ. α΄ τὰ τροπάρια *«Θεοτόκε παρθένε»* κ.λπ., τὸ *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα, Καὶ νῦν, *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*, ὁ ἱερεὺς *«Ὁ ὢν εὐλογητός»*, τὸ *«Ἐπουράνιε βασιλεῦ»*, αἱ 3

μεγάλαι μετάνοιαι μετὰ τῆς οἰκείας εὐχῆς, τρισάγιον κ.λπ., τὸ *«Κύριε, ἐλέησον»* (ιβ΄), *«Παναγία τριάς, τὸ ὁμοούσιον κράτος»*, *«Εἴη τὸ ὄνομα Κυρίου»* τρίς (χῦμα), Δόξα, Καὶ νῦν, ὁ ἀναγνώστης τοὺς ψαλμοὺς λγ΄ (33) *«Εὐλογήσω τὸν Κύριον»* καὶ ρμδ΄ (144) *«Ὑψώσω σε, ὁ Θεός μου»* καὶ ἀπόλυσις (ἐν τῇ ὁποίᾳ μνημονεύεται ὁ ἅγιος τῆς ἑπομένης ἡμέρας).

Σημείωσις. *Ὁ ρμδ΄ ψαλμὸς* «Ὑψώσω σε, ὁ Θεός μου», *καλούμενος ἐπίσης καὶ «στίχος τῆς τραπέζης», καταλιμπάνεται διὰ τὴν νηστείαν τῇ Δευτέρᾳ καὶ Τρίτῃ τῆς α΄ ἑβδομάδος τῶν νηστειῶν.*

Τῇ Δευτέρᾳ ἑσπέρας. Τὸ μέγα ἀπόδειπνον, κατὰ τὴν συνήθη ἐν τῷ Ὡρολογίῳ τάξιν· μετὰ τὴν δοξολογίαν ψάλλεται τὸ ἐνδιάτακτον τμῆμα τοῦ μεγ. κανόνος μετὰ τῶν εἱρμῶν, ὡς ἐν τῷ Τριῳδίῳ (τὰ τροπάρια μὲ στίχον *«Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με»*, Δόξα, τὸ τριαδικόν, Καὶ νῦν, τὸ θεοτοκίον). Μόνον κατὰ τὴν α΄ ἑβδομάδα τῶν νηστειῶν, μετὰ τὸ *«Τὴν πᾶσαν ἐλπίδα μου»*, ὁ ἱερεὺς ἐκ τῶν βημοθύρων ἀναγινώσκει τὸ οἰκεῖον Εὐαγγέλιον τῶν παννυχίδων (σήμερον τῆς Δευτέρας, *«Βλέπετε μὴ πλανηθῆτε»*, Λκ. κα΄ 8-36). Εἰς τὴν ἀπόλυσιν πρὸ τοῦ *«Δι᾽ εὐχῶν»* ψάλλεται τὸ στιχηρὸν *«Πάντων προστατεύεις»* (ἐν Τρίτῃ καὶ Πέμπτῃ ἑσπέρας τὸ *«Σφαγήν σου τὴν ἄδικον»*).

Εἰδήσεις. *1. Εἰς τοὺς ἱκετευτικοὺς στίχους τοῦ μεγάλου ἀποδείπνου* «Παναγία δέσποινα Θεοτόκε» *ψάλλεται μετὰ τὸν στίχον* «Ὅσιοι θεοφόροι πατέρες ἡμῶν» *καὶ στίχος τοῦ ἁγίου τοῦ ναοῦ, ἔτι δέ, εἰ ὁ τυχὼν ἅγιος, οὗ τινος ἐψάλη ὁ ἑσπερινός, εἶναι ἑορταζόμενος, καὶ στίχος αὐτοῦ (παράβαλε Τ.Μ.Ε., 10 Φεβρουαρίου, §13).*

2. Ἐπίσης τὰ ἐν τῷ Ὡρολογίῳ τροπάρια ὑπὸ τὴν ἐπιγραφὴν «Ἕτερα τροπάρια ψαλλόμενα ἡμέραν παρ᾽ ἡμέραν», λέγονται τῇ ἑσπέρᾳ ἑκάστης Τρίτης καὶ Πέμπτης ἀντὶ τῶν «Φώτισον τοὺς ὀφθαλμούς μου» *κ.λπ..*

3. Τμήματα τοῦ μεγάλου κανόνος, ὡς ἔχουν ἐν τῷ Τριῳδίῳ, ψάλλονται μόνον κατὰ τὴν α΄ ἑβδομάδα τῶν νηστειῶν.

4. Τῇ Παρασκευῇ ἑσπέρας ἀναγινώσκεται τὸ μικρὸν ἀπόδειπνον, ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου καὶ ἀναγινώσκεται μία στάσις τῶν Χαιρετισμῶν.

24. Τρίτη. † Ἰωάννου προφήτου, προδρόμου καὶ βαπτιστοῦ ἐπὶ τῇ μνείᾳ τῆς α΄ καὶ β΄ εὑρέσεως τῆς τ. κεφαλῆς αὐτοῦ (452).

Εἰς τὸ μεσονυκτικόν, ψαλλόμενον ἑορτάσιμον. Μετὰ τὸν ν΄ ψαλμὸν (ψάλε, εἰ βούλει, Δόξα, τὸ εἰς τὸν στίχον τῶν αἴνων ἰδιόμελον *«Ἡ πρώην ἐπὶ πίνακι»*, Καὶ νῦν, θεοτοκίον *«Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος... μετὰ τοῦ προδρόμου»*), τρισάγιον κ.λπ. καὶ ἀπολυτίκιον *«Ἐκ γῆς ἀνατείλασα»*.

Εἰς τὸν ὄρθρον, ψαλλόμενον ἑορτάσιμον. Μετὰ τὸν ἑξάψαλμον, εἰς τὸ *«Θεὸς Κύριος»* ἀπολυτίκιον *«Ἐκ γῆς ἀνατείλασα»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον *«Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον»*. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος.] Τὰ καθίσματα τοῦ Μηναίου κατὰ σειρὰν καὶ ἡ τάξις τοῦ Εὐαγγελίου τοῦ ὄρθρου, ἐν ᾗ Εὐαγγέλιον τοῦ Προδρόμου, Πέμπτης γ΄ ἑβδ. Λουκᾶ, *«Ἐξῆλθεν ὁ λόγος τοῦ Ἰησοῦ»* (Λκ. ζ΄ 17-30). Κανόνες, ὁ μικρὸς παρακλητικὸς τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν αὐτοῦ καὶ ὁ τοῦ προδρόμου ἄνευ τῶν εἱρμῶν· ἀπὸ γ΄ καὶ ς΄ ᾠδῆς ὡς ἐν τῷ Μηναίῳ. Καταβασίαι οἱ εἱρμοὶ *«Ἀνοίξω τὸ στόμα μου»· «Τὴν τιμιωτέραν», «Ἅπας γηγενής»*. Ἐξαποστειλάρια, αἶνοι, Δόξα, Καὶ νῦν, ὡς ἐν τῷ Μηναίῳ, δοξολογία μεγάλη.

Εὐθὺς *«Δεῦτε προσκυνήσωμεν»* γ΄ καὶ συνάπτονται αἱ ὧραι λιταὶ λέγοντες εἰς ἑκάστην χῦμα μετὰ μὲν τοὺς ψαλμοὺς Δόξα, *«Ἐκ γῆς ἀνατείλασα»*, Καὶ νῦν, τὸ ἐνδιάτακτον τῆς ὥρας θεοτοκίον, μετὰ δὲ τὸ τρισάγιον κ.λπ. τὸ κοντάκιον τοῦ προδρόμου *«Προφῆτα Θεοῦ καὶ πρόδρομε»*. Εἰς τὴν θ΄ ὥραν συνάπτονται ὡς συνήθως οἱ μακαρισμοὶ (μὲ μόνον τὸ κοντάκιον τοῦ προδρόμου) κ.λπ.. Μικρὰ ἀπόλυσις μετὰ τοῦ *«Δι' εὐχῶν»*, μεθ' ὃ ἄρχεται

Ὁ ἑσπερινὸς μετὰ τῆς ἱ. ἀκολουθίας τῶν προηγιασμένων δώρων. *«Εὐλογημένη ἡ βασιλεία»*, ὁ προοιμιακὸς καὶ τὸ ιη΄ κάθισμα (*«Πρὸς Κύριον»*). Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* ἀπὸ τοῦ στίχου *«Ἐξάγαγε ἐκ φυλακῆς»* τὸ ἰδιόμελον τῶν ἀποστίχων τῆς ἡμέρας (ἐκ τοῦ Τριῳδίου) *«Νηστείαν οὐκ ἀποχὴν βρωμάτων»* (δίς), τὸ ἐν συνεχείᾳ μαρτυρικὸν ἄπαξ,

τὰ 3 ἑσπέρια προσόμοια τῆς σειρᾶς *«Βρώσει πάλαι πικρᾷ»* κ.λπ., καὶ τοῦ προδρόμου ἕτερα 3 *«Δεῦτε τὴν τιμίαν κεφαλὴν»* κ.λπ. εἰς 4 (ζήτει αὐτὰ εἰς τὸν μετὰ τὸν ὄρθρον κείμενον ἑσπερινόν), Δόξα, *«Ἡ τῶν θείων ἐννοιῶν»*, Καὶ νῦν, σταυροθεοτοκίον *«Πόνους ὑπομείνασα πολλούς»*. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *«Φῶς ἱλαρόν»*, ὁ ἱερεὺς *«Ἑσπέρας»*, ὁ ἀναγνώστης *«Προκείμενον»* κ.λπ. καὶ τὸ ἀνάγνωσμα τῆς Γενέσεως, τὸ ἕτερον προκείμενον μετὰ τοῦ στίχου αὐτοῦ καὶ ἐμμελῶς *«Κέλευσον»*· ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς ἁγίας τραπέζης καὶ κρατῶν θυμιατήριον καὶ λαμπάδα ἀνημμένην ἐκφωνεῖ *«Σοφία, ὀρθοί»*, στραφεὶς δὲ πρὸς τὸν λαὸν *«Φῶς Χριστοῦ φαίνει πᾶσι»*· καὶ ὁ ἀναγνώστης τὸ β΄ ἀνάγνωσμα (Παροιμιῶν). Εἶτα τὸ *«Κατευθυνθήτω»* ὡς εἴθισται, μεθ' ὃ Ἀπόστολος τοῦ Προδρόμου, Κυριακῆς ιε΄ ἐπιστολῶν, *«Ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι»* (Β΄ Κορ. δ΄ 6-15)· Εὐαγγέλιον ὁμοίως, Δευτέρας δ΄ ἑβδ. Ματθαίου, *«Ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ»* (Μτθ. ια΄ 2-15). *«Νῦν αἱ δυνάμεις»*, κοινωνικὸν *«Εἰς μνημόσυνον»*. Εἰς τὴν μετὰ τὴν κοινωνίαν εὐλόγησιν ψάλλεται εἱρμολογικῶς εἰς ἦχον β΄ τὸ ἑξῆς· *«Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου· ἄρτον οὐράνιον καὶ ποτήριον ζωῆς γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· ἀλληλούια, ἀλληλούια, ἀλληλούια»*. Μετὰ τὸ *«Πάντοτε νῦν καὶ ἀεί»*, ὁ χορὸς τὸ *«Πληρωθήτω»*. Ὀπισθάμβωνος εὐχὴ *«Δέσποτα παντοκράτορ»*· *«Εἴη τὸ ὄνομα»* γ΄, *«Εὐλογία Κυρίου»* καὶ ἡ ἀπόλυσις, ἀλλὰ πρὸ τοῦ *«Δι' εὐχῶν»* διανέμεται τὸ ἀντίδωρον, ἐνῷ ἀναγινώσκονται οἱ ψαλμοὶ λγ΄ (33) *«Εὐλογήσω τὸν Κύριον»* καὶ ρμδ΄ (144) *«Ὑψώσω σε, ὁ Θεός μου»*, καὶ εἶτα τὸ *«Δι' εὐχῶν»*.

Σημείωσις. *Ἂν καὶ εἰς τὸν ὄρθρον ψάλλεται δοξολογία μεγάλη, ὅμως διὰ τὸ αἰδέσιμον τῶν πρώτων ἡμερῶν τῆς μεγάλης Τεσσαρακοστῆς νηστείας ἐν τῇ τραπέζῃ δὲν γίνεται κατάλυσις οἴνου καὶ ἐλαίου (πρβλ. Τ.Μ.Ε., τυπικὸν 10ης Φεβρουαρίου §15).*

Τῇ Τρίτῃ ἑσπέρας. Τὸ μέγα ἀπόδειπνον μετὰ τοῦ β΄ τμήματος τοῦ μεγ. κανόνος· Εὐαγγέλιον τῆς Τρίτης τῶν

παννυχίδων *«Προσέχετε τὴν ἐλεημοσύνην»* (Μτθ. ς΄ 1-13)· εἰς τὴν συγχώρησιν *«Σφαγήν σου τὴν ἄδικον»*.

Σημείωσις. *Εἰ βούλει, ἐν τῷ μεγάλῳ ἀποδείπνῳ, μετὰ τὴν θ΄ ᾠδὴν τοῦ κανόνος λέγε ἐκ τοῦ Μηναίου τὰ παραλειφθέντα 4 ἑσπέρια προσόμοια τῆς 25ης Φεβρ. μετὰ τοῦ σταυροθεοτοκίου αὐτῶν.*

Διατάξεις καθημερινῶν Τεσσαρακοστῆς

1. Καθ' ἑκάστην ἀπὸ Δευτέρας ἕως Παρασκευῆς τὸ πρωὶ τῶν ἑβδομάδων τῆς Τεσσαρακοστῆς διεξάγονται αἱ ἀκολουθίαι τοῦ μεσονυκτικοῦ, τοῦ ὄρθρου τῆς ἡμέρας, τῶν ὡρῶν καὶ τοῦ ἑσπερινοῦ τῆς ἑπομένης, ὡς περιγράφεται κατὰ τὴν παροῦσαν α΄ ἑβδομάδα.

2. Ὁ ἑσπερινὸς τελεῖται μετὰ τῶν προηγιασμένων ἑκάστῃ Τετάρτῃ καὶ Παρασκευῇ, ταῖς δὲ λοιπαῖς τρεῖς ἡμέραις ἄνευ προηγιασμένης, ἐκτὸς εἰ τύχοι μνήμη ἑορταζομένου ἁγίου, κατὰ τὰ ἐν τῷ Τυπικῷ διαλαμβανόμενα (Τ.Μ.Ε., διατάξεις Τριῳδίου §§20-21).

3. Ἐν τῇ ἀπολύσει τοῦ ἑσπερινοῦ καὶ τοῦ μεγάλου ἀποδείπνου μνημονεύεται ὁ ἅγιος τῆς ἑπομένης ἡμέρας ὁ ἔχων ἀκολουθίαν ἐν τῷ Μηναίῳ.

4. Ἐὰν τύχῃ μνήμη ἑορταζομένου ἁγίου ἐν ταῖς νηστησίμοις ἡμέραις, τελεῖται προηγιασμένη (Τ.Μ.Ε., διάταξις Τριῳδίου §22), ἐν δὲ τῇ ἀπολύσει μνημονεύεται ὁ ἑορταζόμενος ἅγιος. Ἐὰν τυχὸν προηγηθῇ καὶ ἑόρτιος ὄρθρος, ψάλλονται καταβασίαι ***«Ἀνοίξω τὸ στόμα μου»*** *(Τ.Μ.Ε. 10 Φεβρ., 24 Φεβρ., 9 Μαρτίου, καὶ Προθεωρία §27).*

25. Τετάρτη. Ταρασίου Κωνσταντινουπόλεως (784-806). Ῥηγίνου ἱερομ. ἐπισκόπου Σκοπέλου (†335), Ἀλεξάνδρου μάρτυρος τοῦ ἐν Θρᾴκῃ.

Τῇ Τετάρτῃ πρωί. Ἡ ἀκολουθία μεσονυκτικοῦ, ὄρθρου καὶ ὡρῶν μετὰ τῶν μακαρισμῶν, ὡς προδεδήλωται· εὐθὺς μετὰ τὴν εὐχὴν *«Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος»* ὁ ἱερεὺς ἐκφωνεῖ τὴν (μικρὰν) ἀπόλυσιν καὶ τὸ *«Δι' εὐχῶν»*, μεθ' ὃ ἄρχεται

Ὁ ἑσπερινὸς μετὰ τῆς ἱ. ἀκολουθίας τῶν προηγιασμένων δώρων. *«Εὐλογημένη ἡ βασιλεία»*. *«Δεῦτε προσκυνήσωμεν»*, ὁ προοιμιακός, καὶ τὸ ιη΄ κάθισμα τοῦ Ψαλτηρίου (*«Πρὸς Κύριον»*).

ΕΙΣ ΤΟ *«ΚΥΡΙΕ, ΕΚΕΚΡΑΞΑ»*, εἰς στίχους 10, τὸ ἐν τῷ Τριῳδίῳ ἰδιόμελον τῆς ἡμέρας *«Νηστεύοντες, ἀδελφοὶ»* δίς, τὸ μαρτυρικὸν *«Εἴ τις ἀρετὴ»* ἅπαξ, προσόμοια τῆς σειρᾶς 3 *«Φεγγοβόλους ὑμᾶς»* κ.λπ. καὶ τοῦ Μηναίου (Φεβρουαρίου 26) ἕτερα 3 εἰς 4, Δόξα, Καὶ νῦν, τὸ ἐν συνεχείᾳ προσόμοιον θεοτοκίον τοῦ Μηναίου.

ΕΙΣΟΔΟΣ μετὰ θυμιατοῦ, *«Φῶς ἱλαρὸν»* ἄνευ μέλους, ὁ ἱερεὺς *«Ἑσπέρας»*, ὁ ἀναγνώστης *«Προκείμενον»* κ.λπ. καὶ τὸ ἀνάγνωσμα τῆς Γενέσεως, τὸ ἕτερον προκείμενον μετὰ τοῦ στίχου αὐτοῦ καὶ ἐμμελῶς *«Κέλευσον»*· ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς ἁγίας τραπέζης καὶ κρατῶν θυμιατήριον καὶ λαμπάδα ἀνημμένην ἐκφωνεῖ *«Σοφία· ὀρθοί»*, στραφεὶς δὲ πρὸς τὸν λαὸν *«Φῶς Χριστοῦ φαίνει πᾶσι»*· καὶ ὁ ἀναγνώστης τὸ β΄ ἀνάγνωσμα (τῶν Παροιμιῶν).

ΚΑΤΕΥΘΥΝΘΗΤΩ. Εἶτα ὁ ἱερεὺς θυμιῶν πρὸ τῆς ἁγίας τραπέζης ψάλλει τὸ *«Κατευθυνθήτω»*, ὃ ἐπαναλαμβάνουν οἱ χοροὶ τετράκις, τοῦ ἱερέως θυμιῶντος κύκλῳ τῆς ἁγίας τραπέζης καὶ λέγοντος ἐμμελῶς τοὺς οἰκείους στίχους· εἶτα ὁ ἱερεὺς θυμιῶν τὸν λαὸν λέγει πάλιν τὸ τελευταῖον *«Κατευθυνθήτω»* μέχρι τοῦ *«ὡς θυμίαμα ἐνώπιόν σου»*, τὸ δὲ λοιπὸν συμπληροῖ ὁ χορός. [Εἰς τὸ σημεῖον αὐτό, εἰ τύχοι μνήμη ἑορταζομένου ἁγίου, ἀναγινώσκεται ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον αὐτοῦ κατὰ τὴν συνήθη τάξιν, τὴν δὲ Μεγ. Ἑβδομάδα μόνον Εὐαγγέλιον.]

Εἶτα ἡ ἐκτενής, τὰ τῶν κατηχουμένων κ.λπ.· ἀντὶ τοῦ χερουβικοῦ τὸ *«Νῦν αἱ δυνάμεις»*· κοινωνικὸν *«Γεύσασθε καὶ ἴδετε»*, εἰς τὴν μετὰ τὴν κοινωνίαν εὐλόγησιν ψάλλεται τὸ *«Εὐλογήσω τὸν Κύριον»*, τὰ λοιπὰ τῶν προηγιασμένων κατὰ τάξιν καὶ ἡ ἀπόλυσις (ἐν ᾗ μνημονεύεται ὁ ἅγιος τῆς ἑπομένης ἡμέρας).

Εἴδησις. *Ἐὰν τελεσθῇ προηγιασμένη ἐν ἡμέρᾳ μνήμης ἑορταζομένου ἁγίου, ἔχοντος Ἀπόστολον καὶ Εὐαγγέλιον, α) εἰς τὰ κεκραγάρια μετὰ τὰ στιχηρὰ τοῦ Τριῳδίου ψάλλονται τὰ στιχηρὰ τοῦ ἑορταζομένου ἁγίου καὶ οὐχὶ τὰ τοῦ ἁγίου τῆς ἐπαύριον, β) ἡ πρώτη*

εἴσοδος γίνεται μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου καὶ οὐχὶ μετὰ θυμιατοῦ, καὶ γ) εἰς τὴν ἀπόλυσιν μνημονεύεται ὡσαύτως ὁ ἑορταζόμενος ἅγιος.

Τῇ Τετάρτῃ ἑσπέρας. Τὸ μέγα ἀπόδειπνον μετὰ τοῦ γ΄ τμήματος τοῦ μεγάλου κανόνος, ὡς ἐν τῷ Τριῳδίῳ· Εὐαγγέλιον τῆς Τετάρτης τῶν παννυχίδων *«Ἔχετε πίστιν Θεοῦ»* (Μρ. ια΄ 23-26, Μτθ. ζ΄ 7-8)· εἰς τὴν συγχώρησιν *«Πάντων προστατεύεις»*.

26. Πέμπτη. Πορφυρίου ἐπισκόπου Γάζης (†420). Φωτεινῆς μάρτυρος τῆς Σαμαρείτιδος, Θεοκλήτου καὶ λοιπῶν μαρτύρων, Ἰωάννου νεομάρτυρος τοῦ ἐν Κων/πόλει (†1575).

Τῇ Πέμπτῃ πρωΐ. Τὸ μεσονυκτικόν, ὁ ὄρθρος τῆς ἡμέρας, αἱ ὧραι καὶ ὁ ἑσπερινὸς τῆς ἑπομένης (27 Φεβρουαρίου) ἄνευ προηγιασμένης.

Τῇ Πέμπτῃ ἑσπέρας. Τὸ μέγα ἀπόδειπνον μετὰ τοῦ δ΄ τμήματος τοῦ μεγάλου κανόνος· Εὐαγγέλιον τῆς Πέμπτης τῶν παννυχίδων *«Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν»* (Μτθ. ζ΄ 7-11)· εἰς τὴν συγχώρησιν *«Σφαγήν σου τὴν ἄδικον»*.

27. Παρασκευή. Προκοπίου τοῦ Δεκαπολίτου (η΄ αἰ.). Στεφάνου τοῦ γηροκόμου. Ἐφραὶμ ὁσίου τοῦ Κατουνακιώτου (†1998).

Τῇ Παρασκευῇ πρωΐ. Αἱ ἀκολουθίαι μεσονυκτικοῦ, ὄρθρου καὶ ὡρῶν μετὰ τῶν μακαρισμῶν, ὡς προδεδήλωται.

Ὁ ἑσπερινὸς μετὰ προηγιασμένης. Ὁ προοιμιακὸς καὶ τὸ ιη΄ κάθισμα (*«Πρὸς Κύριον»*). Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* (ἦχος πλ. α΄) ἀπὸ τοῦ στίχου *«Ἐξάγαγε ἐκ φυλακῆς»* τὸ ἰδιόμελον τῆς ἡμέρας (ἐκ τοῦ Τριῳδίου) *«Δεῦτε πιστοί»* (δίς), τὰ 4 μαρτυρικὰ τοῦ δ΄ ἤχου (βλ. ἐν τέλει τοῦ Τριῳδίου) καὶ τὰ 4 ἰδιόμελα τοῦ ἁγίου Θεοδώρου (ἐκ τοῦ Τριῳδίου) *«Δεῦτε, φιλομάρτυρες»* κ.λπ., Δόξα, *«Ὀργάνῳ χρησάμενος»*, Καὶ νῦν, *«Ὁ διὰ σὲ θεοπάτωρ»* (βλ. ἐν τέλει τοῦ Τριῳδίου). Εἴσοδος μετὰ θυμιατοῦ, *«Φῶς ἱλαρόν»*, τὰ ἀναγνώσματα τοῦ Τριῳδίου, *«Κατευθυνθήτω»*, *«Νῦν αἱ δυνάμεις»*, κοινωνικὸν *«Γεύσασθε καὶ ἴδετε»*, *«Εὐλογήσω τὸν Κύριον»*.

Τῇ Παρασκευῇ ἑσπέρας. Οἱ α΄ χαιρετισμοὶ τῆς Θεοτόκου. Ἀναγινώσκεται τὸ μικρὸν ἀπόδειπνον, ὡς ἐν τῷ Ὡρολογίῳ. Μετὰ τὸ *«Ἄξιον ἐστὶ»* ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου *«Ἀνοίξω τὸ στόμα μου»* ἀνὰ 6 τροπάρια εἰς ἑκάστην ᾠδήν· εἶτα τὸ *«Τῇ ὑπερμάχῳ»* δίχορον, καὶ ἀναγινώσκεται ἡ α΄ στάσις τῶν οἴκων (Χαιρετισμῶν) τῆς Θεοτόκου (Α-Ζ)· εἶτα *«Τῇ ὑπερμάχῳ στρατηγῷ»* σύντομον, τὸ τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τοῦ μεγαλομάρτυρος·

«Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας, πολύαθλε· καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως ὡς ἀήττητος»·

«Κύριε, ἐλέησον» (μ΄), *«Ὁ ἐν παντὶ καιρῷ»*, καὶ τὰ λοιπὰ τοῦ μικροῦ ἀποδείπνου. Μετὰ τὸ *«Τὴν πᾶσαν ἐλπίδα μου»* τὸ Εὐαγγέλιον τῆς παννυχίδος τῆς Παρασκευῆς *«Ἐγὼ εἰμὶ ἡ ἄμπελος»* (Ἰω. ιε΄ 1-7), ἡ μικρὰ ἀπόλυσις, τὸ *«Εὐξώμεθα»*, τὸ κάθισμα *«Τὴν ὡραιότητα»* καὶ εἶτα *«Δι' εὐχῶν»* (Τ.Μ.Ε., διάταξις Τριῳδίου §26).

Σημείωσις. *Ἡ τάξις αὕτη τῶν χαιρετισμῶν τηρεῖται καὶ κατὰ τὰς ἑφεξῆς Παρασκευὰς τῆς β΄, γ΄ καὶ δ΄ ἑβδομάδος, ἄνευ ὅμως Εὐαγγελίου. Κοντάκιον δὲ λέγεται τότε τὸ ἑξῆς, ἐφόσον τῷ Σαββάτῳ δὲν τύχῃ ἑορταζόμενος ἅγιος·*

«Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι, Κύριε, τοὺς θεοφόρους μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον, πολυέλεε».

28. Σάββατον α΄ τῶν νηστειῶν. «Θεοδώρου μεγαλομάρτυρος τοῦ Τήρωνος (μνήμη διὰ κολλύβων θαύματος)». Βασιλείου ὁσίου τοῦ ὁμολογητοῦ (†750). Προτερίου Ἀλεξανδρείας ἱερομάρτυρος (†457), Κυράννης νεομάρτυρος τῆς ἐν Θεσσαλονίκῃ (†1751). Κασσιανοῦ ὁσίου τοῦ Ῥωμαίου.


Εἴδησις. *Κατὰ τὰ Σάββατα τῆς Τεσσαρακοστῆς, τὸ μὲν πρωὶ ψάλλεται ἡ ἀκολουθία τοῦ ὄρθρου καὶ τελεῖται ἡ λειτουργία τοῦ ἱ. Χρυσοστόμου, τὸ δὲ ἑσπέρας ψάλλεται, ὡς συνήθως, ὁ ἑσπερινὸς τῆς ἐπαύριον Κυριακῆς, καθ' ἣν τελεῖται ἡ λειτουργία τοῦ μεγ. Βασιλείου.*


Τῷ Σαββάτῳ πρωί. Μεσονυκτικὸν τοῦ Σαββάτου μὲ τὸ ἀπολυτίκιον καὶ κοντάκιον τοῦ ἁγίου [ἢ τὸ σύνηθες μεσονυκτικὸν ἐπὶ μνήμῃ ἑορταζομένου ἁγίου, ἐν ᾧ μετὰ τὸν ν΄ ψαλμὸν ψάλλονται τὰ διὰ τὸν στίχον τῶν αἴνων ἰδιόμελα τοῦ ἁγ. Θεοδώρου *«Χορεύουσι στίφη μαρτύρων»* κ.λπ. δίχα μὲν τῶν πρὸ αὐτῶν στίχων, ἀλλὰ μετὰ τοῦ Δόξα, Καὶ νῦν αὐτῶν· τρισάγιον κ.λπ. καὶ ἀπολυτίκιον *«Μεγάλα τὰ τῆς πίστεως»*].

Εἰς τὸν ὄρθρον. Εἰς τὸ *«Θεὸς Κύριος»* ἀπολυτίκιον *«Μεγάλα τὰ τῆς πίστεως»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, *«Πάντα ὑπὲρ ἔννοιαν»*. Καθίσματα [μετὰ τὴν α΄ στιχολ.] μόνον τὰ 3 μαρτυρικὰ τοῦ δ΄ ἤχου ἄνευ τοῦ νεκρωσίμου (ζήτει ἅπαντα ἐν τέλει τοῦ Τριῳδίου), Δόξα, Καὶ νῦν, τὸ α΄ θεοτοκίον τοῦ ἤχου *«Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον»*, εἶτα [μετὰ τὸν Ἄμωμον] τὰ τοῦ ἁγίου (Τριῴδιον, Σάββατον α΄ ἑβδομάδος) *«Ζέων πίστεως»*, Δόξα, *«Θεῖον δῶρον»*, Καὶ νῦν, θεοτοκίον *«Ἡ τὸν ἀχώρητον Θεόν»*. Ὁ ν΄ ψαλμὸς χῦμα. Κανόνες, ὁ τοῦ Μηναίου καὶ οἱ δύο τοῦ Τριῳδίου· ἀπὸ γ΄ ᾠδῆς τὰ μεσῴδια καθίσματα τοῦ ἁγίου Θεοδώρου· ἀφ᾽ ς΄ τὸ κοντάκιον καὶ ὁ οἶκος τοῦ ἁγίου, τὸ συναξάριον τῆς ἡμέρας καὶ τὸ ὑπόμνημα τοῦ Τριῳδίου. Καταβασίαι *«Ἀνοίξω τὸ στόμα μου»*· *«Τὴν τιμιωτέραν»*· *«Ἅπας γηγενής»*. Ἐξαποστειλάρια, αἶνοι, Δόξα, Καὶ νῦν, ὡς ἐν τῷ Τριῳδίῳ. Δοξολογία μεγάλη, ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν. Τὰ συνήθη ἀντίφωνα [ἢ τὰ τυπικὰ καὶ εἰς τοὺς μακαρισμοὺς ἡ γ΄ καὶ ἡ ς΄ ᾠδὴ τοῦ πρώτου κανόνος τοῦ Τριῳδίου]. Μετὰ τὴν εἴσοδον, ἀπολυτίκια *«Μεγάλα τὰ τῆς πίστεως»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον *«Προστασία»*. Ἀπόστολος: τοῦ ἁγίου (26 Ὀκτωβρίου), *«Ἐνδυναμοῦ ἐν τῇ χάριτι»* (Β΄ Τιμ. β΄ 1-10)· Εὐαγγέλιον: τῆς ἡμέρας, Σαββάτου β΄ ἑβδ. νηστειῶν, *«Ἐπορεύετο ὁ Ἰησοῦς ἐν τοῖς σάββασιν»* (Μρ. β΄ 23-γ΄ 5). Λειτουργία τοῦ ἱ. Χρυσοστόμου· *«Ἄξιον ἐστίν»*· *«Εἰς μνημόσυνον»*. Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν γίνεται ἡ εὐλόγησις τῶν ἑορτίων κολλύβων μετὰ τῆς εὐχῆς *«Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου»* (βλ. Ἱερατικόν)· εἶτα *«Εἴη τὸ ὄνομα Κυρίου»* καὶ ἀπόλυσις.


Σημείωσις. *Ἐπειδὴ ὑπάρχει συνήθεια νὰ προσάγωνται σήμερον κόλλυβα διὰ τοὺς κεκοιμημένους, ἂν καὶ δὲν εἶναι Ψυχοσάββατον, εἶναι δυνατὸν πρῶτον μὲν μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν νὰ εὐλογηθοῦν τὰ πρὸς τιμὴν τοῦ ἁγίου ἑόρτια κόλλυβα, μετὰ δὲ τὸ «Δι' εὐχῶν» τῆς λειτουργίας ὁ ἱερεὺς εὐθὺς νὰ βάλῃ* «Εὐλογητὸς» *καὶ νὰ τελέσῃ κατὰ τὰ εἰωθότα τὸ νεκρώσιμον τρισάγιον ἐπὶ τῶν ἄλλων κολλύβων.*





ΜΗΝ

ΜΑΡΤΙΟΣ



Μην Μαρτιος



ἔχων ἡμέρας τριάκοντα καὶ μίαν
Ἡ ἡμέρα ἔχει ὥρας 12 καὶ ἡ νὺξ ὥρας 12

1. † **ΚΥΡΙΑΚΗ Α΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ** (ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ). Εὐδοκίας ὁσιομάρτυρος (†160-170), Μαρκέλλου καὶ Ἀντωνίνης μαρτύρων. Ἦχος πλ. α΄, ἑωθινὸν ε΄ (Τ.Μ.Ε., διατάξεις Τριῳδίου §§28-30).

Εἰς τὴν θ΄. Ἀπολυτίκιον *«Μεγάλα τὰ τῆς πίστεως»*· κοντάκιον *«Πίστιν Χριστοῦ»*.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, ἀναστάσιμα 6 καὶ τοῦ Τριῳδίου 4, Δόξα, *«Ἡ χάρις ἐπέλαμψε»*, Καὶ νῦν, *«Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ»*. Εἴσοδος κ.λπ.. Ἀπόστιχα τὰ ἀναστάσιμα, Δόξα, Καὶ νῦν, τοῦ Τριῳδίου *«Οἱ ἐξ ἀσεβείας»*. Ἀπολυτίκια *«Τὸν συνάναρχον Λόγον»*, Δόξα, *«Τὴν ἄχραντον εἰκόνα σου»*, Καὶ νῦν, *«Πάντα ὑπὲρ ἔννοιαν»*.

Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν τριαδικὸν κανόνα τοῦ ἤχου, Δόξα, τὸ ἐν τῷ Τριῳδίῳ διὰ τὴν λιτὴν ἰδιόμελον *«Χαίρετε, προφῆται τίμιοι»*, Καὶ νῦν, θεοτοκίον *«Τὴν πᾶσαν ἐλπίδα μου»*, τὰ τριαδικὰ *«Ἄξιον ἐστί»*, τρισάγιον κ.λπ. καὶ ἀπολυτίκιον *«Τὴν ἄχραντον εἰκόνα σου»*.

Εἴδησις. *Κατὰ τὴν παροῦσαν ἑβδομάδα, β΄ τῶν νηστειῶν, θὰ τελεσθοῦν τρεῖς θεῖαι λειτουργίαι προηγιασμένων δώρων.*

Εἰς τὸν ὄρθρον. Εἰς τὸ *«Θεὸς Κύριος»* τὰ ἐν τῷ ἑσπερινῷ ἀπολυτίκια. [Τὸ Ψαλτήριον καὶ ὁ ἄμωμος.]

ΚΑΘΙΣΜΑΤΑ τὰ ἀναστάσιμα καὶ τὰ εὐλογητάρια. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινόν (ε΄)· μετὰ τὸν ν΄ ψαλμόν, τὰ τροπάρια *«Τῆς μετανοίας»* κ.λπ., ὡς συνήθως ἐν τῷ Τριῳδίῳ.

ΚΑΝΟΝΕΣ, ὁ ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου. Ἀπὸ γ΄ ᾠδῆς τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου, καὶ τὰ μεσῴδια καθίσματα ὡς ἐν τῷ Τριῳδίῳ· ἀφ᾽ ς΄ τὸ κοντάκιον καὶ ὁ οἶκος

τοῦ Τριῳδίου, τὸ συναξάριον τῆς ἡμέρας καὶ τὸ ὑπόμνημα τοῦ Τριῳδίου.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος»· «Τὴν τιμιωτέραν», «Λίθος ἀχειρότμητος».*

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ. *«Ἅγιος Κύριος»* κ.λπ., τὸ ε΄ ἀναστάσιμον *«Ἡ ζωὴ καὶ ὁδὸς Χριστός»*, τὸ τῆς ἑορτῆς *«Σκιρτήσατε, κροτήσατε»* καὶ τὸ θεοτοκίον *«Ῥομφαῖαι νῦν ἐξέλιπον».*

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ ἀναστάσιμα 4 καὶ τῆς ἑορτῆς προσόμοια 3 *«Ἐν σοὶ νῦν ἀγάλλεται»* κ.λπ. εἰς 4 –εἰς τοὺς συνήθεις στίχους τῆς Κυριακῆς τὰ δύο τελευταῖα–, Δόξα, τοῦ Τριῳδίου *«Μωσῆς τῷ καιρῷ τῆς ἐγκρατείας»*, Καὶ νῦν, *«Ὑπερευλογημένη»*, δοξολογία μεγάλη.

Μετὰ τὸ ᾀσματικὸν τῆς δοξολογίας *«Ἅγιος ὁ Θεὸς»* (ἢ μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν τῆς θ. λειτουργίας), τελεῖται ἡ λιτάνευσις τοῦ τιμίου Σταυροῦ καὶ τῶν ἱ. εἰκόνων πέριξ ἢ ἔσωθεν τοῦ ἱ. ναοῦ κατὰ τὴν ἀκόλουθον διάταξιν.

Ἡ λιτανεία τῶν ἱερῶν εἰκόνων κατὰ τὴν συνήθη τάξιν

Ἐξελθόντες τοῦ ἱ. ναοῦ, ὅ τε ἱ. κλῆρος καὶ ὁ λαὸς μετὰ τοῦ τιμίου σταυροῦ καὶ τῶν ἱ. εἰκόνων, καὶ τάξιν λιτανεύσεως ἀποτελέσαντες κατὰ τὰ εἰωθότα, περιερχόμεθα ἅπαξ τὸν ἱερὸν ναόν, τῶν χορῶν ψαλλόντων τὸ ἀπολυτίκιον *«Τὴν ἄχραντον εἰκόνα σου»*. Εἰς ἑκάστην δὲ τοῦ ναοῦ πλευρὰν γίνονται αἱ κάτωθι δεήσεις.

α΄) Ἐν τῇ νοτίᾳ πλευρᾷ τοῦ ναοῦ δέησις ὑπὲρ τῶν ζώντων.

β΄) Ὄπισθεν τοῦ ἱεροῦ γίνεται δέησις ὑπὲρ τῶν ἀπ᾽ αἰῶνος κεκοιμημένων εὐσεβῶν βασιλέων, ὀρθοδόξων πατριαρχῶν, ἀρχιερέων κ.τ.λ.· οἱ χοροὶ *«Αἰωνία ἡ μνήμη»* (γ΄) καὶ ἡ ἐκφώνησις *«Ὅτι σὺ εἶ ἡ ἀνάστασις».*

γ΄) Ἐν τῇ βορείᾳ πλευρᾷ τοῦ ναοῦ δέησις ὑπὲρ τῶν ζώντων, ὡς ἐν τῇ πρώτῃ στάσει.

δ΄) Πρὸ τῆς δυτικῆς θύρας ἢ ἐντὸς τοῦ ναοῦ (ἐν τῷ σολέᾳ) ὑπὲρ τῶν ζώντων καὶ εἰς τὸ τέλος *«Ὑπὲρ τοῦ διαφυλαχθῆναι»* κ.λπ., *«Ἐπάκουσον ἡμῶν»* καὶ ἀναγινώσκει ὁ προεξάρχων ἱερεὺς

(ἢ ἂν ᾖ προεξάρχων ὁ ἀρχιερεὺς) τὰς ἑξῆς περικοπὰς τοῦ ὑπὲρ τῆς ὀρθοδοξίας συνοδικοῦ:

Οἱ προφῆται ὡς εἶδον, οἱ ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱ διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαρρησιάσατο, ὁ Χριστὸς ὡς ἐβράβευσεν, οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ τοὺς αὐτοῦ ἁγίους ἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν, ἐν ναοῖς, ἐν εἰκονίσμασι, τὸν μὲν ὡς Θεὸν καὶ δεσπότην προσκυνοῦντες καὶ σέβοντες, τοὺς δὲ διὰ τὸν κοινὸν δεσπότην ὡς αὐτοῦ γνησίους θεράποντας τιμῶντες καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμοντες. Αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξεν. Ἐπὶ τούτοις τοὺς τῆς εὐσεβείας κήρυκας ἀδελφικῶς τε καὶ πατροποθήτως εἰς δόξαν καὶ τιμὴν τῆς εὐσεβείας, ὑπὲρ ἧς ἠγωνίσαντο, ἀνευφημοῦμεν καὶ λέγομεν· Τῶν τῆς ὀρθοδοξίας προμάχων εὐσεβῶν βασιλέων, ἁγιωτάτων πατριαρχῶν, ἀρχιερέων, διδασκάλων, μαρτύρων, ὁμολογητῶν, αἰωνία ἡ μνήμη.

Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη» γ΄.*

Τούτων τοῖς ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἄθλοις τε καὶ ἀγωνίσμασι καὶ διδασκαλίαις παιδαγωγεῖσθαί τε καὶ κρατύνεσθαι Θεὸν ἐκλιπαροῦντες καὶ μιμητὰς τῆς ἐνθέου αὐτῶν πολιτείας μέχρι τέλους ἀναδείκνυσθαι ἐκδυσωποῦντες, ἀξιωθείημεν τῶν ἐξαιτουμένων, οἰκτιρμοῖς καὶ χάριτι τοῦ μεγάλου καὶ πρώτου ἀρχιερέως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, πρεσβείαις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων.

Ὁ χορὸς *«Ἀμήν»*. Εἰσερχομένων δὲ ἡμῶν εἰς τὸν ἱ. ναὸν ψάλλεται τὸ μέγα προκείμενον *«Τίς θεὸς μέγας»*, καὶ εἶτα τὸ *«Ἀναστὰς ἐκ τοῦ μνήματος»* (ἢ *«Σήμερον σωτηρία»*).

Ἡ λιτανεία τῶν ἱερῶν εἰκόνων κατὰ τὴν τάξιν τῶν Πατριαρχείων Ἀλεξανδρείας καὶ Ἱεροσολύμων

Σχηματίζεται ἱερὰ πομπὴ ὡς ἑξῆς· προπορεύονται οἱ κρατοῦντες κηρολαμπάδας, εἶτα οἱ φέροντες τὰ λάβαρα, τοὺς φα-

νούς, τὰ ἑξαπτέρυγα· ἀκολουθοῦν οἱ χοροὶ τῶν ψαλτῶν· εἶτα οἱ ἱερεῖς καὶ οἱ φερόντες τὰς ἱ. εἰκόνας χριστιανοί, καὶ τέλος διάκονοι μετὰ θυμιατηρίων θυμιῶντες τὸν εἰς χεῖρας τοῦ ἀρχιερέως εὑρισκόμενον τίμιον Σταυρόν (ἢ τὴν μικρὰν φορητὴν εἰκόνα τοῦ Χριστοῦ). Κατὰ τὴν ἔναρξιν τῆς λιτανείας ἵστανται πάντες εἰς τὸν σολέα.

ΕΝΑΡΞΙΣ. Ἐκφωνεῖ ὁ διάκονος· *«Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον»*. Ὁ ἀρχιερεὺς ἀπὸ τῶν βημοθύρων· *«Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων»*. Ὁ χορὸς *«Ἀμήν»*.

Καὶ ὁ ἀρχιερεὺς ἀναγινώσκει ἀπὸ τῶν βημοθύρων τὸ προοίμιον τοῦ ὑπὲρ τῆς ὀρθοδοξίας συνοδικοῦ·

Ἐποφειλομένη πρὸς Θεὸν ἐτήσιος εὐχαριστία, καθ' ἣν ἡμέραν ἀπελάβομεν τὴν τοῦ Θεοῦ Ἐκκλησίαν σὺν ἀποδείξει τῶν τῆς εὐσεβείας δογμάτων καὶ καταστροφῇ τῶν τῆς κακίας δυσσεβημάτων.

Προφητικαῖς ἑπόμενοι ῥήσεσιν ἀποστολικαῖς τε παραινέσεσιν εἴκοντες καὶ εὐαγγελικαῖς ἱστορίαις στοιχούμενοι, τῶν ἐγκαινίων τὴν ἡμέραν ἑορτάζομεν. Καὶ ταύτῃ εὐχαῖς καὶ λιτανείαις συνευφραινόμενοί τε καὶ συναγαλλόμενοι ψαλμοῖς ἐκβοῶμεν καὶ ᾄσμασιν.

Καὶ ἐκκινεῖ ἡ ἱερὰ πομπὴ πρὸς τὴν βορείαν πύλην τοῦ ναοῦ, ἐνῷ ὁ χορὸς ψάλλει τὸ ἀπολυτίκιον *«Τὴν ἄχραντον εἰκόνα σου»*, εἰς χρόνον ἀνάλογον, ὥστε ὁ ἀρχιερεὺς νὰ φθάσῃ εἰς τὸν χῶρον τῆς ἑπομένης στάσεως.

ΣΤΑΣΙΣ ΠΡΩΤΗ. Ἱσταμένης τῆς πομπῆς, ἀναγινώσκει ὁ προϊστάμενος τὸ α΄ ἄρθρον τοῦ συμβόλου τῆς πίστεως·

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Ὁ ἀρχιερεὺς ἐκφώνως·

– Τῶν τὴν ἔνσαρκον τοῦ Θεοῦ Λόγου παρουσίαν, λόγῳ, στόματι, καρδίᾳ καὶ νῷ, γραφῇ τε καὶ εἰκόσιν ὁμολογούντων, αἰωνία ἡ μνήμη. [Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη»* (γ΄)].

– Τῶν εἰδότων τῆς τοῦ Χριστοῦ μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως τὸ ἐν οὐσίαις διάφορον, καὶ ταύτης τὸ κτιστόν τε καὶ ἄκτιστον, τὸ

ὁρατὸν καὶ ἀόρατον, τὸ παθητὸν καὶ ἀπαθές, τὸ περιγραπτὸν καὶ ἀπερίγραπτον, καὶ τῇ μὲν θεϊκῇ οὐσίᾳ τὸ ἄκτιστον καὶ τὰ ὅμοια προσαρμοζόντων, τῇ δὲ ἀνθρωπίνῃ φύσει τά τε ἄλλα καὶ τὸ περιγραπτὸν ἀνομολογούντων καὶ λόγῳ καὶ εἰκονίσμασιν, αἰωνία ἡ μνήμη. [Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη»* (γ΄)].

– *Τῶν πιστευόντων καὶ διακηρυκευομένων, ἥ τοι εὐαγγελιζομένων τοὺς λόγους ἐπὶ γραμμάτων, τὰ πράγματα ἐπὶ σχημάτων, καὶ εἰς μίαν ἑκάτερον συντελεῖν ὠφέλειαν, τήν τε διὰ λόγων ἀνακήρυξιν καὶ τὴν δι᾽ εἰκόνων τῆς ἀληθείας βεβαίωσιν, αἰωνία ἡ μνήμη.* [Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη»* (γ΄)].

Καὶ ἐκκινεῖ πάλιν ἡ πομπὴ πρὸς τὴν δυτικὴν θύραν (ἥ τοι πρὸς τὰς βασιλικὰς πύλας) τοῦ ναοῦ, ἐνῷ ψάλλει τὸ ἀπολυτίκιον *«Τὴν ἄχραντον εἰκόνα σου»* (εἰς χρόνον ἀνάλογον).

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ. Τοῦ ἀρχιερέως φθάσαντος πρὸ τῶν βασιλικῶν πυλῶν, ἵσταται ἡ λιτανεία· ὁ δὲ προϊστάμενος ἀναγινώσκει τὰ χριστολογικὰ ἄρθρα τοῦ συμβόλου τῆς πίστεως·

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Εἶτα ὁ ἀρχιερεὺς ἐκφώνως·

Οἱ προφῆται ὡς εἶδον, οἱ ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱ διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαρρησιάσατο, ὁ Χριστὸς ὡς ἐβράβευσεν· οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ τοὺς αὐτοῦ ἁγίους ἐν λόγοις

τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν, ἐν θυσίαις, ἐν ναοῖς, ἐν εἰκονίσμασι, τὸν μὲν ὡς Θεὸν καὶ δεσπότην προσκυνοῦντες καὶ σέβοντες, τοὺς δὲ διὰ τὸν κοινὸν δεσπότην ὡς αὐτοῦ γνησίους θεράποντας τιμῶντες καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμοντες.

Αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξε.

Καὶ ἐκκινεῖ ἡ ἱ. πομπὴ πρὸς τὴν μεσημβρινὴν (νοτίαν) θύραν τοῦ ναοῦ, ἐνῷ ὁ χορὸς ψάλλει τὸ ἀπολυτίκιον *«Τὴν ἄχραντον εἰκόνα σου»* (εἰς χρόνον ἀνάλογον).

ΣΤΑΣΙΣ ΤΡΙΤΗ. Ὅταν ὁ ἀρχιερεὺς φθάσῃ εἰς τὸν ὡρισμένον τόπον, ἵσταται ἡ πομπή, καὶ ὁ προϊστάμενος ἀναγινώσκει τὰ λοιπὰ ἄρθρα τοῦ συμβόλου τῆς πίστεως·

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εἶτα ὁ ἀρχιερεὺς ἐκφώνως·

– *Μιχαὴλ τοῦ ὀρθοδόξου βασιλέως καὶ Θεοδώρας τῆς ἁγίας αὐτοῦ μητρός, αἰωνία ἡ μνήμη.* [Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη»* (γ΄)].

– *Βασιλείου, Κωνσταντίνου, Λέοντος, Ἀλεξάνδρου, Χριστοφόρου, Νικηφόρου, Ἀνδρονίκου, Ἰσαακίου, Ἀλεξίου καὶ Θεοδώρου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀνταλλαξαμένων, αἰωνία ἡ μνήμη.* [Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη»* (γ΄)].

– *Ἰγνατίου, Φωτίου, Στεφάνου, Ἀντωνίου, Ἰωσὴφ καὶ πάντων τῶν ἁγιωτάτων πατριαρχῶν τῶν ὑπὲρ τῆς πίστεως ἡμῶν ἀγωνισαμένων, αἰωνία ἡ μνήμη.* [Ὁ χορὸς *«Αἰωνία ἡ μνήμη»* (γ΄)].

– *Τούτων τοῖς ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἄθλοις τε καὶ ἀγωνίσμασι καὶ διδασκαλίαις παιδαγωγεῖσθαί τε καὶ κρατύνεσθαι Θεὸν ἐκλιπαροῦντες καὶ μιμητὰς τῆς ἐνθέου αὐτῶν πολιτείας μέχρι τέλους ἀναδείκνυσθαι ἐκδυσωποῦντες, ἀξιωθείημεν τῶν ἐξαιτουμένων, οἰκτιρμοῖς καὶ χάριτι τοῦ μεγάλου καὶ πρώτου ἀρχιερέως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, πρεσβείαις τῆς ὑπερ-*

ενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων.

Ὁ χορὸς *«Ἀμὴν»* καὶ ψάλλει τὸ ἀπολυτίκιον *«Τὴν ἄχραντον εἰκόνα σου»* (εἰς χρόνον ἀνάλογον) [ἢ τὸ ἀκροτελεύτιον αὐτοῦ *«Χαρᾶς ἐπλήρωσας τὰ πάντα»* κ.λπ.], ἐνῷ ἡ ἱ. πομπὴ ἐπιστρέφει εἰς τὸν σολέα.

ΣΤΑΣΙΣ ΤΕΤΑΡΤΗ. Ὁ ἀρχιερεὺς ψάλλει ἀπὸ τῶν βημοθύρων τὸν ψαλμικὸν στίχον *«Τίς θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν· σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος»*. Τὸν αὐτὸν στίχον ἐπαναλαμβάνουν οἱ χοροὶ ἀνὰ μίαν, καὶ εἶτα τὸ *«Ἀναστὰς ἐκ τοῦ μνήματος»* (ἢ *«Σήμερον σωτηρία»*).

Εἰς τὴν λειτουργίαν.

Ψάλλονται τὰ ἀντίφωνα ὡς ἑξῆς.

Ἀντίφωνον α΄

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥ τις οὐ σαλευθήσεται.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.

Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ. *Ταῖς πρεσβείαις τῆς Θεοτόκου...*

Δόξα, Καὶ νῦν. *Ταῖς πρεσβείαις τῆς Θεοτόκου...*

Ἀντίφωνον β΄

Ἐξομολογησάσθωσαν τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. *Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούια.*

Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων. *Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς....*

Ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ. *Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν...*

Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν...

Δόξα, Καὶ νῦν. *«Ὁ μονογενὴς Υἱός».*

Ἀντίφωνον γ΄

Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.

«Τὴν ἄχραντον εἰκόνα σου...»

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. *«Τὴν ἄχραντον εἰκόνα σου...»*

Κύριε, ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

«Τὴν ἄχραντον εἰκόνα σου...»

ΕΙΣΟΔΙΚΟΝ *«Δεῦτε προσκυνήσωμεν... Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν...»*

ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ, ἀπολυτίκια *«Τὸν συνάναρχον Λόγον», «Τὴν ἄχραντον εἰκόνα σου»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον *«Τῇ ὑπερμάχῳ».*

ΑΝΑΓΝΩΣΜΑΤΑ. Προκείμενον καὶ ἀλληλουιάριον τὰ εἰδικὰ τῆς Κυριακῆς* (βλέπε ἐν τῷ Τριῳδίῳ)· Ἀπόστολος: Κυριακῆς α΄ νηστειῶν, *«Πίστει Μωυσῆς μέγας γενόμενος»* (Ἑβρ. ια΄ 24-26, 32-40)· Εὐαγγέλιον: ὁμοίως, *«Ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν»* (Ἰω. α΄ 44-52).

Καθεξῆς ἡ θ. λειτουργία τοῦ μεγάλου Βασιλείου. Εἰς τὸ *Ἐξαιρέτως* τὸ *«Ἐπὶ σοὶ χαίρει».* Κοινωνικὸν *«Αἰνεῖτε»· «Εἴδομεν τὸ φῶς»·* καὶ τὰ λοιπὰ ὡς συνήθως.

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας. Εἰς τὴν θ΄. Ἀπολυτίκια τὸ ἀναστάσιμον, Δόξα, *«Τὴν ἄχραντον εἰκόνα σου»·* κοντάκιον τῆς ἑορτῆς *«Ὁ ἀπερίγραπτος Λόγος».*

Εἰς τὸν ἑσπερινόν. Ἑσπέρια εἰς στίχους 10, κατανυκτικὰ τοῦ (πλ. α΄) ἤχου 4 *«Κύριε, ἁμαρτάνων οὐ παύομαι»* κ.λπ. (ζήτει ἐν

* Προκείμενον, ἦχος δ΄, Ὠδὴ τῶν πατέρων, *«Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν»*, στίχ. *«Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν».* – Ἀλληλουιάριον, ἦχος πλ. δ΄, στίχ. α΄ *«Μωυσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ»*, στίχ. β΄ *«Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν· ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς».*

τέλει τοῦ Τριῳδίου), προσόμοια τοῦ Τριῳδίου 3 *«Δίδου μοι κατάνυξιν»* κ.λπ., καὶ ἐκ τοῦ Μηναίου (2 Μαρτίου) ἕτερα 3, Δόξα, Καὶ νῦν, τὸ ἐν συνεχείᾳ προσόμοιον θεοτοκίον. Εἴσοδος μετὰ θυμιατοῦ, *«Φῶς ἱλαρὸν»* καὶ τὸ μέγα προκείμενον *«Ἔδωκας κληρονομίαν»* κατὰ τὴν ἐν τῷ Τριῳδίῳ τάξιν. Εἰς τὸν στίχον, ἅπαντα ὡς ἐν τῷ Τριῳδίῳ· *«Νῦν ἀπολύεις»* κ.τ.λ. ὡς ἐσημειώθησαν τῇ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας.

2. Δευτέρα. Ἡσυχίου μάρτυρος. Θεοδότου Κυρηνείας Κύπρου (†326), Εὐθαλίας παρθενομάρτυρος (†252).

Μνήμη Νικολάου ἱερέως τοῦ Πλανᾶ (†1932). Κατ᾽ ἀπόφασιν τῆς ἱ. Συνόδου, εἰ τύχοι ἐν τῇ μεγ. τεσσαρακοστῇ, μετατίθεται ἡ μνήμη αὐτοῦ τῇ α΄ Κυριακῇ τοῦ Μαρτίου.

Τῷ πρωί. Αἱ ἀκολουθίαι μεσονυκτικοῦ, ὄρθρου, ὡρῶν μετὰ τῶν μακαρισμῶν, καὶ τοῦ ἑσπερινοῦ τῆς ἑπομένης, ὡς προδεδήλωται, κατὰ τὴν τάξιν τῆς Τεσσαρακοστῆς.

Σημείωσις. *Καθ᾽ ἑκάστην ἑσπέραν ἀπὸ Δευτέρας ἕως Πέμπτης τῶν λοιπῶν ἑβδομάδων τῆς μεγ. Τεσσαρακοστῆς καὶ τὴν ἑσπέραν τῆς μεγ. Δευτέρας καὶ τῆς μεγ. Τρίτης διεξάγεται ἡ ἀκολουθία τοῦ μεγάλου ἀποδείπνου ὡς ἐν τῷ Ὡρολογίῳ (ἄνευ Εὐαγγελίου). Κατὰ τὸ Τ.Μ.Ε. (διατάξεις Τριῳδίου §23, ὑποσ. 17), μετὰ τὴν δοξολογίαν ψάλλεται ἐκ τοῦ Θεοτοκαρίου ὁ ὡρισμένος κανὼν τῆς ἡμέρας ὁ εἰς τὸν ἦχον τῆς ἑβδομάδος, ἂν καὶ κατὰ τόπους καὶ κατὰ ἱ. μονὰς ὑπάρχουν διάφορα τυπικὰ σχετικῶς μὲ τοὺς κανόνας· πολλαχοῦ δὲ τὸ μέγα ἀπόδειπνον διεξάγεται ἄνευ οἱουδήποτε κανόνος (πλὴν τῆς α΄ ἑβδομάδος τῶν νηστειῶν καὶ τῶν ἀποδείπνων τῆς Μεγάλης Ἑβδομάδος).*

3. Τρίτη. Εὐτροπίου, Κλεονίκου, Βασιλίσκου τῶν μαρτύρων. Θεοδωρήτου ἱερομάρτυρος.

4. Τετάρτη. Γερασίμου ὁσίου τοῦ ἐν Ἰορδάνῃ (†475)· Παύλου καὶ Ἰουλιανῆς τῶν μαρτύρων (†273).

Τῷ πρωί. Αἱ ἀκολουθίαι πᾶσαι ὡς προδεδήλωται.

Ὁ ἑσπερινὸς μετὰ τῶν προηγιασμένων. Ὁ προοιμιακὸς καὶ τὸ ιη΄ κάθισμα (*«Πρὸς Κύριον»*). Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* τὸ ἰδιόμελον *«Τὴν πνευματικήν, ἀδελφοί»* (δίς), τὸ μαρτυρικὸν

«Πανεύφημοι μάρτυρες» καὶ τὰ 3 τῆς σειρᾶς προσόμοια τοῦ Τριῳδίου ἀνὰ μίαν, εἶτα 3 τοῦ Μηναίου (5 Μαρτίου) εἰς 4 μετὰ τοῦ ἐν συνεχείᾳ Δόξα, Καὶ νῦν, θεοτοκίου· εἴσοδος, *«Φῶς ἱλαρόν»*, καὶ τὰ λοιπὰ τῆς προηγιασμένης.

5. Πέμπτη. Κόνωνος ὁσιομάρτυρος. Μάρκου ὁσίου τοῦ Ἀθηναίου (δ΄ αἰ.), Γεωργίου νεομάρτυρος τοῦ ἐκ Ῥαψάνης.

6. Παρασκευή. Τῶν ἐν Ἀμορίῳ 42 μαρτύρων (†845). Μνήμη τῆς εὑρέσεως τοῦ τ. σταυροῦ ὑπὸ τῆς ἁγίας Ἑλένης (326).

Τῷ πρωί. Αἱ ἀκολουθίαι πᾶσαι ὡς προδεδήλωται.

Ὁ ἑσπερινὸς μετὰ τῶν προηγιασμένων. Μετὰ τὸν προοιμιακὸν καὶ τὸ ιη΄ κάθισμα, εἰς τὸ *«Κύριε, ἐκέκραξα»* τὸ ἰδιόμελον *«Νῦν καιρὸς εὐπρόσδεκτος»* (δίς), τὰ 4 μαρτυρικὰ τοῦ (πλ. α΄) ἤχου, καὶ ἐκ τοῦ Μηναίου (Μαρτίου 7) προσόμοια 3 εἰς 4, Δόξα, τὸ νεκρώσιμον τοῦ ἤχου (ἐν τέλει τοῦ Τριῳδίου) *«Ἐμνήσθην τοῦ προφήτου»*, Καὶ νῦν, *«Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ»*· εἴσοδος, *«Φῶς ἱλαρόν»*, καὶ τὰ λοιπὰ τῆς προηγιασμένης.

Τῇ Παρασκευῇ ἑσπέρας. Οἱ β΄ χαιρετισμοὶ τῆς Θεοτόκου. Εἰς τὸ μικρὸν ἀπόδειπνον ψάλλεται ὁ κανὼν *«Ἀνοίξω τὸ στόμα μου»*, εἶτα τὸ *«Τῇ ὑπερμάχῳ»* δίχορον, καὶ ἐκφωνεῖται ἡ β΄ στάσις τοῦ ἀκαθίστου ὕμνου *«Ἤκουσαν οἱ ποιμένες»*. Μετὰ τὸ τρισάγιον κ.λπ., κοντάκιον *«Ὡς ἀπαρχὰς τῆς φύσεως»*, καὶ τὰ λοιπὰ κατὰ τὴν τάξιν τῶν α΄ χαιρετισμῶν (ἀλλ᾽ ἄνευ Εὐαγγελίου).

7. Σάββατον β΄ τῶν νηστειῶν. Τῶν ἐν Χερσῶνι ἐπισκοπευσάντων ἱερομαρτύρων (δ΄ αἰ.). Λαυρεντίου ὁσίου τοῦ Μεγαρέως.

Εἰς τὸν ὄρθρον. Μετὰ τὸν ἑξάψαλμον, τὰ εἰρηνικὰ καὶ τὴν ἐκφώνησιν *«Ὅτι πρέπει σοι»*, οἱ χοροὶ εἰς ἦχον β΄ τὸ ἀλληλουϊάριον, δὶς ἄνευ στίχων καὶ δὶς ἐφύμνιον τῶν στίχων *«Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε»*, *«Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν»*. Ἀπολυτίκια, τὸ μαρτυρικὸν *«Ἀπόστολοι, μάρτυρες»*, Δόξα, τὸ νεκρώσιμον *«Μνήσθητι, Κύριε»*, Καὶ νῦν, θεοτοκίον, *«Μήτηρ ἁγία»*. Καθίσματα τὰ 3 μαρτυρικὰ τοῦ πλ. α΄ ἤχου ὡς ἐν τέλει τοῦ Τριῳδίου, ἀλλ᾽ εἰς τὸ Δόξα, ἀντὶ τοῦ νε-

κρωσίμου *«Ἀνάπαυσον, σωτὴρ ἡμῶν»* (ὅ περ θὰ ψαλῇ ὑποχρεωτικῶς μετὰ τὰ εὐλογητάρια) λέγεται τὸ παρόν·

Γινώσκεις ὁ Θεὸς ἡμῶν, ὅτι ἐν ἁμαρτίαις γεγεννήμεθα· δι' ὅ σε ἱκετεύομεν· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, ἃ ὡς ἄνθρωποι καὶ θνητοὶ ἐν βίῳ ἔπραξαν, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Εἰς δὲ τὸ Καὶ νῦν τὸ α΄ θεοτοκίον τοῦ ἤχου *«Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος»*. Εὐθὺς [ὁ Ἄμωμος εἰς στάσεις δύο καὶ] τὰ νεκρώσιμα εὐλογητάρια, μετὰ τὰ ὁποῖα γίνεται τὸ μνημόσυνον τῶν κεκοιμημένων (ὡς ἐσημειώθη εἰς τὸν ἑσπερινὸν τοῦ Ψυχοσαββάτου τῆς ἀπόκρεω). Εἶτα οἱ χοροὶ τὸ νεκρώσιμον κάθισμα τοῦ πλ. α΄ ἤχου *«Ἀνάπαυσον, σωτὴρ ἡμῶν»*, Δόξα, *«Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ»*, Καὶ νῦν, *«Ὁ ἐκ παρθένου ἀνατείλας»*. Ὁ ν΄ ψαλμὸς χῦμα. [Ἡ στιχολογία τῶν ἐννέα ᾠδῶν καὶ] ὁ κανὼν τοῦ Μηναίου (μετὰ τῶν εἱρμῶν) μέχρι μὲν τῆς ε΄ ᾠδῆς μόνος, ἀπὸ δὲ τῆς ς΄ ᾠδῆς μετὰ τῶν τετραῳδίων κανόνων τῆς ἡμέρας (Τριῴδιον, Σάββατον β΄ ἑβδομάδος). Ἀπὸ γ΄ ᾠδῆς ὁ εἱρμὸς τοῦ Μηναίου, αἴτησις, *«Ὅτι σὺ εἶ ὁ Θεός»*, τὸ μεσῴδιον τοῦ Μηναίου κάθισμα, Δόξα, Καὶ νῦν, τὸ θεοτοκίον. Ἀφ' ς΄ ᾠδῆς ὁ εἱρμὸς τοῦ β΄ τετραῳδίου *«Βυθός μοι τῶν παθῶν»*, αἴτησις, *«Σὺ γὰρ εἶ ὁ βασιλεύς»*, εἶτα τὸ νεκρώσιμον κοντάκιον *«Μετὰ τῶν ἁγίων»* καὶ τὸ συναξάριον. Καταβασίαι δὲν ψάλλονται, ἀλλ' εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ὁ εἱρμὸς τῆς η΄ ᾠδῆς τοῦ β΄ τετραῳδίου *«Τὸν ἐξ ἀνάρχου»*· στιχολογοῦμεν τὸ *«Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον»* ἐπισυνάπτοντες *«Τὴν τιμιωτέραν»* (εἰς ἦχον γ΄)· εἶτα ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ β΄ τετραῳδίου *«Σὲ τὴν ἀθάνατον πηγὴν»* καὶ τὸ *«Ἄξιον ἐστίν»*. (Τὸ φωταγωγικὸν τοῦ ἤχου τῆς ἑβδομάδος δίς.) Ἐξαποστειλάριον τὸ νεκρώσιμον τοῦ Σαββάτου *«Ὁ καὶ νεκρῶν καὶ ζώντων»* καὶ θεοτοκίον *«Ὁ γλυκασμὸς τῶν ἀγγέλων»* (βλέπε εἰς Ὡρολόγιον). Εἰς τοὺς αἴνους τὰ ἐν τῷ τέλει τοῦ Τριῴδιου 4 ἰδιόμελα τοῦ πλ. α΄ ἤχου *«Εὐλογημένος ὁ στρατὸς»* κ.λπ., Δόξα, τὸ νεκρώσιμον *«Σὺ ἔπλασάς με, Κύριε»*, Καὶ νῦν, θεοτοκίον *«Μακαρίζομέν σε»*. [Οἱ ψαλμοὶ τῶν αἴνων χῦμα], *«Σοὶ δόξα πρέπει»*, ἡ δοξολογία χῦμα καὶ τὰ λοιπὰ ὡς συνήθως. Εἰς τὸν στίχον τῶν

αἴνων, προσόμοια νεκρώσιμα τοῦ ἤχου *«Αἴγλῃ τοῦ σοῦ προσώπου, Χριστὲ»* κ.λπ. ὡς ἐν τέλει τοῦ Τριῳδίου. *«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»*, τρισάγιον κ.λπ. καὶ τὰ ἀπολυτίκια τῆς μετ' Ἀλληλούια ἀκολουθίας τοῦ Σαββάτου *«Ἀπόστολοι, μάρτυρες»*, Δόξα, *«Μνήσθητι, Κύριε»*, Καὶ νῦν, θεοτοκίον *«Μήτηρ ἁγία»*.

Εἰς τὴν λειτουργίαν. Ἀντίφωνα καὶ εἰσοδικὸν τὰ συνήθη («τῶν καθημερινῶν»). Μετὰ τὴν εἴσοδον, ἀπολυτίκια *«Ἀπόστολοι, μάρτυρες»*, *«Μνήσθητι, Κύριε»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκια *«Μετὰ τῶν ἁγίων»* καὶ *«Ὡς ἀπαρχὰς τῆς φύσεως»*. Ἀπόστολος: Σαββάτου β΄ ἑβδ. νηστειῶν, *«Βλέπετε μήποτε ἔσται»* (Ἑβρ. γ΄ 12-16)· Εὐαγγέλιον: ὁμοίως, *«Ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον»* (Μρ. α΄ 35-44). Καθεξῆς ἡ λειτουργία τοῦ ἱ. Χρυσοστόμου· *«Ἄξιον ἐστί»*· *«Μακάριοι οὓς ἐξελέξω»*· *«Εἴδομεν τὸ φῶς»*. Ἐὰν ὑπάρχουν κόλλυβα ὑπὲρ κεκοιμημένων, μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ψάλλονται τὰ νεκρώσιμα τροπάρια *«Μετὰ πνευμάτων δικαίων»* κ.λπ. καὶ μνημονεύονται παρὰ τοῦ ἱερέως τὰ ὀνόματα ὑπὲρ ὧν τὰ κόλλυβα· καὶ ἡ συνήθης ἀπόλυσις τῆς λειτουργίας.

Εἰδήσεις. *1. Οὗτος ὁ τύπος τηρεῖται καὶ κατὰ τὰ Σάββατα τῶν ἑπομένων γ΄ καὶ δ΄ ἑβδομάδων, ἐναλλασσομένων τῶν καθισμάτων, μαρτυρικῶν καὶ νεκρωσίμων τοῦ ἤχου τῆς ἑβδομάδος· ἐκτὸς εἰ τύχοι ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ ἢ μνήμη ἑορταζομένου ἁγίου.*

*2. Εἰ τύχοι μνήμη ἑορταζομένου ἁγίου ἐν τῷ β΄, γ΄ ἢ δ΄ Σαββάτῳ τῶν νηστειῶν, ψάλλονται εἰς τὸν ὄρθρον καταβασίαι **«Ἀνοίξω τὸ στόμα μου»**, καὶ εἰς τὴν λειτουργίαν κοντάκιον **«Προστασία»**.*

8. † ΚΥΡΙΑΚΗ Β΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ. «Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ». Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας (†842-5), Ἑρμοῦ ἀποστόλου (α΄ αἰ.). Ἦχος πλ. β΄, ἑωθινὸν ς΄ (Τ.Μ.Ε., διατάξεις Τριῳδίου §§35-37).

Εἰς τὴν θ΄. Ἀπολυτίκιον *«Ἀπόστολοι, μάρτυρες»*, Δόξα, *«Μνήσθητι, Κύριε»*· κοντάκιον *«Ὡς ἀπαρχάς»*.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, ἀναστάσιμα 6, τοῦ Τριῳδίου 3 εἰς 4, Δόξα, *«Ὅσιε τρισμάκαρ»*, Καὶ νῦν, *«Τίς μὴ μακαρίσει σε»*. Εἴσοδος κ.λπ.. Ἀπόστιχα τὰ ἀναστάσιμα, Δόξα,

«Ἡ γρήγορος γλῶσσά σου», Καὶ νῦν, *«Ἀνύμφευτε παρθένε»*. Ἀπολυτίκια *«Ἀγγελικαὶ δυνάμεις»*, Δόξα, *«Ὀρθοδοξίας ὁ φωστήρ»*, Καὶ νῦν, *«Ὁ δι' ἡμᾶς γεννηθείς»*.

Τὸ μεσονυκτικὸν τῆς Κυριακῆς ὡς εἴθισται, καὶ τὰ 3 κατανυκτικὰ τροπάρια *«Ἐλέησον ἡμᾶς, Κύριε»*, κ.λπ..

Εἴδησις. *Κατὰ τὴν παροῦσαν ἑβδομάδα, γ΄ τῶν νηστειῶν, θὰ τελεσθοῦν τρεῖς θεῖαι λειτουργίαι προηγιασμένων δώρων.*

Εἰς τὸν ὄρθρον. Εἰς τὸ *«Θεὸς Κύριος»* τὰ ἐν τῷ ἑσπερινῷ ἀπολυτίκια. [Τὸ Ψαλτήριον καὶ ὁ ἄμωμος.]

ΚΑΘΙΣΜΑΤΑ τὰ ἀναστάσιμα καὶ τὰ εὐλογητάρια. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινόν (ς΄)· μετὰ τὸν ν΄ ψαλμόν, τὰ τροπάρια *«Τῆς μετανοίας»* κ.λπ., ὡς συνήθως ἐν τῷ Τριῳδίῳ.

ΚΑΝΟΝΕΣ, ὁ ἀναστάσιμος (μετὰ τῶν εἱρμῶν) καὶ ὁ τοῦ Τριῳδίου μετὰ στίχου *«Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν»*· ἀπὸ γ΄ ᾠδῆς τὸ κοντάκιον καὶ ὁ οἶκος τοῦ ἱεράρχου, εἶτα τὸ μεσῴδιον κάθισμα τοῦ Τριῳδίου καὶ τὸ θεοτοκίον· ἀφ' ς΄ τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου, καὶ τὰ συναξάρια τῆς ἡμέρας καὶ τοῦ Τριῳδίου.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Ἀνοίξω τὸ στόμα μου»*· *«Τὴν τιμιωτέραν»*, *«Ἅπας γηγενής»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ. *«Ἅγιος Κύριος»* κ.λπ., τὸ ς΄ ἀναστάσιμον *«Δεικνύων ὅτι ἄνθρωπος»*, τοῦ Τριῳδίου *«Χαῖρε, πατέρων καύχημα»* καὶ τὸ θεοτοκίον αὐτοῦ.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ στιχηρὰ ἀναστάσιμα 4 καὶ τοῦ ἱεράρχου προσόμοια 3 *«Τὴν μακαρίαν ἐν κόσμῳ»* κ.λπ. εἰς 4 –εἰς τοὺς πρὸ αὐτῶν στίχους τὰ δύο τελευταῖα–, Δόξα, *«Τοῖς ἐν σκότει ἁμαρτημάτων»*, Καὶ νῦν, *«Ὑπερευλογημένη»*. Δοξολογία μεγάλη, *«Ἀναστὰς ἐκ τοῦ μνήματος»* (ἢ *«Σήμερον σωτηρία»*).

Εἰς τὴν λειτουργίαν. Τὰ συνήθη ἀντίφωνα [ἢ τὰ τυπικὰ καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς 4 καὶ 4 ἐκ τῆς ς΄ ᾠδῆς τοῦ ἁγίου]. Μετὰ τὴν εἴσοδον, ἀπολυτίκια *«Ἀγγελικαὶ δυνάμεις»*, *«Ὀρθοδοξίας ὁ φωστὴρ»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, ἐπισφραγιστικὸν κοντάκιον *«Τῇ ὑπερμάχῳ»*. Προκείμενον καὶ ἀλληλουιάριον τοῦ

ἤχου· Ἀπόστολος: Κυριακῆς β΄ νηστειῶν, *«Κατ᾽ ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας»* (Ἑβρ. α΄ 10-β΄ 3)· Εὐαγγέλιον: ὁμοίως, *«Εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ»* (Μρ. β΄ 1-12). Καθεξῆς ἡ θ. λειτουργία τοῦ μεγ. Βασιλείου· εἰς τὸ *Ἐξαιρέτως* τὸ *«Ἐπὶ σοὶ χαίρει»*· κοινωνικὸν *«Αἰνεῖτε»*.

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας. Εἰς τὴν θ΄. Ἀπολυτίκια *«Ἀγγελικαὶ δυνάμεις»*, Δόξα, *«Ὀρθοδοξίας ὁ φωστήρ»*· ἡ ὑπακοὴ τοῦ ἤχου.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, εἰς στίχους 6, ἑσπέρια προσόμοια 3 τῆς σειρᾶς τοῦ Τριῳδίου *«Ἀμέτρητά σοι πταίσας»* καὶ ἐκ τοῦ Μηναίου (Μαρτίου 9) τῶν ἁγίων ἕτερα 3 *«Φέροντες τὰ παρόντα»* κ.λπ., Δόξα, τὸ διὰ τὸν στίχον τῶν αἴνων ἰδιόμελον αὐτῶν *«Τὴν λίμνην ὡς παράδεισον»*, Καὶ νῦν, προσόμοιον θεοτοκίον (ἐκ τοῦ Μηναίου) *«Ἔργοις σκοτεινοῖς συναπαχθείς»*. Εἴσοδος, *«Φῶς ἱλαρόν»*, μέγα προκείμενον *«Μὴ ἀποστρέψῃς»*. Εἰς τὰ ἀπόστιχα τὸ ἰδιόμελον *«Χαλινοὺς ἀποπτύσας»* (δίς), τὸ μαρτυρικόν, Δόξα, Καὶ νῦν, *«Τὰ οὐράνια ὑμνεῖ σε»*, *«Νῦν ἀπολύεις»*, τρισάγιον κ.λπ., τὸ ἀπολυτίκιον τῶν μαρτύρων *«Τὰς ἀλγηδόνας τῶν ἁγίων»*, Δόξα, Καὶ νῦν, θεοτοκίον *«Τοῦ Γαβριὴλ φθεγξαμένου σοι»*.

9. Δευτέρα. † Τῶν ἁγίων τεσσαράκοντα μαρτύρων τῶν ἐν τῇ λίμνῃ τῆς Σεβαστείας μαρτυρησάντων (†320).

Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν ν΄ ψαλμὸν ψάλλονται τὰ διὰ τοὺς αἴνους ἰδιόμελα τῶν μαρτύρων *«Χορὸς τετραδεκαπύρσευτος»*, *«Τὴν τετραδεκάριθμον χορείαν»*, Δόξα, *«Ἀληθείας κρατῆρα»*, Καὶ νῦν, θεοτοκίον *«Ἀδιόδευτε πύλη»* (βλέπε αὐτὸ εἰς τὸν στίχον τῶν αἴνων), τρισάγιον κ.λπ. καὶ ἀπολυτίκιον *«Τὰς ἀλγηδόνας τῶν ἁγίων»*.

Εἰς τὸν ὄρθρον (ἑορτάσιμον). Μετὰ τὸν ἑξάψαλμον, εἰς τὸ *«Θεὸς Κύριος»* ἀπολυτίκιον *«Τὰς ἀλγηδόνας τῶν ἁγίων»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον *«Τοῦ Γαβριὴλ φθεγξαμένου σοι»*. [Τὸ ψαλτήριον τῆς ἡμέρας.] Τὰ καθίσματα κατὰ σειρὰν καὶ ἡ τάξις τοῦ Εὐαγγελίου τοῦ ὄρθρου, ὡς ἐν τῷ Μηναίῳ· Εὐαγγέλιον τῶν μαρτύρων, Τρίτης ιβ΄ ἑβδ. Λουκᾶ, *«Προσέχετε ἀπὸ τῶν*

ἀνθρώπων» (Λκ. κα΄ 12-19). Κανόνες, ὁ μικρὸς παρακλητικὸς τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν καὶ ὁ τῶν μαρτύρων· ἀπὸ γ΄ καὶ ς΄ ᾠδῆς ὡς ἐν τῷ Μηναίῳ. Καταβασίαι οἱ εἱρμοὶ *«Ἀνοίξω τὸ στόμα μου»· «Τὴν τιμιωτέραν», «Ἅπας γηγενής»*. Τὸ ἐξαποστειλάριον τῶν μαρτύρων καὶ τὸ θεοτοκίον. Εἰς τοὺς αἴνους τὰ 3 προσόμοια τῶν ἁγίων *«Δεῦτε μαρτυρικὴν»* κ.λπ. εἰς 4, Δόξα, *«Ἀθλοφόροι Χριστοῦ»*, Καὶ νῦν, θεοτοκίον *«Μακαρίζομέν σε»*· δοξολογία μεγάλη, τὸ ἀπολυτίκιον τῶν μαρτύρων.

ΩΡΑΙ. Εὐθὺς *«Δεῦτε προσκυνήσωμεν»* (γ΄), καὶ αἱ ὧραι λιταί, λέγοντες εἰς ἑκάστην χῦμα, μετὰ μὲν τοὺς ψαλμούς, Δόξα, *«Τὰς ἀληδόνας»*, Καὶ νῦν, τὸ θεοτοκίον τῆς ὥρας, μετὰ δὲ τὸ τρισάγιον κ.λπ. τὸ κοντάκιον τῶν μαρτύρων *«Πᾶσαν στρατιάν»*. Εἰς τὴν θ΄ ὥραν συνάπτονται, ὡς συνήθως, οἱ μακαρισμοὶ (μὲ μόνον τὸ κοντάκιον τῶν ἁγίων) κ.τ.λ.· μετὰ τὸ *«Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς»* καὶ τὴν εὐχὴν *«Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος»* ὁ ἱερεὺς τὴν (μικρὰν) ἀπόλυσιν καὶ τὸ *«Δι΄ εὐχῶν»*, μεθ' ὃ ἄρχεται

Ὁ ἑσπερινὸς μετὰ τῆς ἱ. ἀκολουθίας τῶν προηγιασμένων δώρων. Ὁ προοιμιακός, τὰ εἰρηνικά, καὶ τὸ ιη΄ κάθισμα τοῦ Ψαλτηρίου (*«Πρὸς Κύριον»*). Εἰς τὸ *«Κύριε, ἐκέκραξα»*, εἰς στίχους 10, τὸ ἰδιόμελον τῆς ἡμέρας τὸ εὑρισκόμενον εἰς τὰ ἀπόστιχα (Τριῴδιον, Δευτέρᾳ γ΄ ἑβδομάδος ἑσπέρας) *«Πάτερ ἀγαθὲ»* δίς, τὸ ἐν συνεχείᾳ μαρτυρικὸν *«Τῶν ἁγίων μαρτύρων»* ἅπαξ, εἶτα τὰ εἰς τὴν ἀρχὴν τοῦ ἑσπερινοῦ τοῦ Τριῳδίου 3 προσόμοια τῆς σειρᾶς *«Νηστείαν ποθήσωμεν»* κ.λπ., καὶ ἐκ τοῦ Μηναίου τὰ 3 στιχηρὰ τῶν ἁγίων *«Φέροντες τὰ παρόντα»* κ.λπ. (9 Μαρτίου, εἰς τὸν πρῶτον ἑσπερινὸν) εἰς 4, Δόξα, τῶν ἁγίων *«Ἐν ᾠδαῖς ἁσμάτων»*, Καὶ νῦν, τὸ κάτωθι προσόμοιον θεοτοκίον (ἐκ τῆς 6ης Μαρτίου), πρὸς τὸ *«Τριήμερος ἀνέστης»*·

Μεγάλων χαρισμάτων ἁγνή, παρθένε μῆτερ μόνη Θεοῦ, ἠξιώθης ὅτι ἔτεκες σαρκί, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *«Φῶς ἱλαρὸν»* ἄνευ μέλους, ὁ ἱερεὺς *«Ἑσπέρας»*, τὰ ἀναγνώσματα τοῦ Τριῳδίου καὶ τὸ *«Κα-*

τευθυνθήτω» κατὰ τάξιν ὑπὸ τοῦ ἱερέως καὶ τῶν χορῶν. Ὁ Ἀπόστολος τῶν μαρτύρων, Μαρτίου 9, *«Τοσοῦτον ἔχοντες περικείμενον»* (Ἑβρ. ιβ΄ 1-10), τὸ Εὐαγγέλιον αὐτῶν, Τετάρτης θ΄ ἑβδ. Ματθαίου, *«Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν»* (Μτθ. κ΄ 1-16). Καθεξῆς ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων δώρων. Κοινωνικὸν *«Εἰς μνημόσυνον»*· τὸ *«Εὐλογήσω τὸν Κύριον»* κ.λπ.· εἰς δὲ τὴν ἀπόλυσιν μνημονεύονται πάλιν οἱ ἅγιοι τῆς 9ης Μαρτίου.

Σημείωσις. *Ἐν τῇ τραπέζῃ κατάλυσις οἴνου καὶ ἐλαίου.*

10. Τρίτη. Κοδράτου τοῦ ἐν Κορίνθῳ καὶ τῶν σὺν αὐτῷ 5 μαρτύρων (†251). Ἀναστασίας τῆς πατρικίας, Μιχαὴλ Μαυροειδῆ νεομάρτυρος τοῦ ἐν Ἀδριανουπόλει (†1544).

11. Τετάρτη. Σωφρονίου πατριάρχου Ἱεροσολύμων (†638-44). Πιονίου, Τροφίμου καὶ Θαλλοῦ τῶν μαρτύρων, Θεοδώρας ὁσίας (τῆς ἐκ Σερβίων Κοζάνης) βασιλίσσης Ἄρτης.

Τῷ πρωί. Αἱ ἀκολουθίαι πᾶσαι ὡς προδεδήλωται.

Ὁ ἑσπερινὸς μετὰ τῶν προηγιασμένων. Ὁ προοιμιακὸς καὶ τὸ ιη΄ κάθισμα. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* τὸ ἰδιόμελον τοῦ Τριῳδίου *«Ἀσώτως διασπείρας»* (δίς), τὸ μαρτυρικὸν *«Ἱερεῖα ἔμψυχα»* (ἅπαξ), τὰ 3 προσόμοια τῆς σειρᾶς τοῦ Τριῳδίου *«Ἡλίου αὐγάσματα»* καὶ ἕτερα 3 τοῦ Μηναίου (12 Μαρτίου) εἰς 4, Δόξα, Καὶ νῦν, τὸ ἐν συνεχείᾳ θεοτοκίον τοῦ Μηναίου· εἴσοδος, *«Φῶς ἱλαρόν»*, καὶ τὰ λοιπὰ τῆς προηγιασμένης.

12. Πέμπτη. Θεοφάνους τοῦ ὁμολογητοῦ (†818). Γρηγορίου Ῥώμης τοῦ Διαλόγου (†604), Φινεὲς τοῦ δικαίου (1430 π.Χ.), Συμεὼν τοῦ νέου Θεολόγου (†1022).

13. Παρασκευή. Ἡ ἀνακομιδὴ τοῦ ἱεροῦ λειψάνου Νικηφόρου πατριάρχου ΚΠόλεως (†846). Πουπλίου ἐπισκόπου Ἀθηνῶν ἱερομάρτυρος (β΄ αἰ.).

Τῷ πρωί. Αἱ ἀκολουθίαι πᾶσαι ὡς προδεδήλωται.

Ὁ ἑσπερινὸς μετὰ προηγιασμένης. Ὁ προοιμιακὸς καὶ τὸ ιη΄ κάθισμα. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* τὸ ἰδιόμελον τοῦ Τριῳδίου

«Ἀσώτου δίκην ἀπέστην» (δίς), τὰ 4 μαρτυρικὰ τοῦ πλ. β΄ ἤχου (ἐν τέλει τοῦ Τριῳδίου) καὶ τοῦ Μηναίου (14 Μαρτίου) ἕτερα 3 εἰς 4, Δόξα, τὸ νεκρώσιμον τοῦ ἤχου *«Ἀρχή μοι καὶ ὑπόστασις»*, Καὶ νῦν, *«Τίς μὴ μακαρίσει σε»* (ἐν τέλει τοῦ Τριῳδίου)· εἴσοδος, *«Φῶς ἱλαρόν»*, καὶ τὰ λοιπὰ τῆς προηγιασμένης.

Τῇ Παρασκευῇ ἑσπέρας. Οἱ γ΄ χαιρετισμοὶ τῆς Θεοτόκου. Εἰς τὸ μικρὸν ἀπόδειπνον ἐκφωνεῖται ἡ γ΄ στάσις τοῦ ἀκαθίστου *«Νέαν ἔδειξε κτίσιν»*, ὡς εἴθισται. Κοντάκιον *«Ὡς ἀπαρχὰς τῆς φύσεως»*. Πάντα τὰ λοιπὰ κατὰ τὴν τάξιν τῶν α΄ χαιρετισμῶν (ἀλλ᾽ ἄνευ Εὐαγγελίου).

14. Σάββατον γ΄ τῶν νηστειῶν. Βενεδίκτου ὁσίου (†543)· Εὐσχήμονος ὁμολογητοῦ ἐπισκόπου Λαμψάκου (θ΄ αἰ.).

Τῷ Σαββάτῳ πρωί. Τὸ σύνηθες μεσονυκτικὸν τοῦ Σαββάτου ὡς ἐν τῷ Ὡρολογίῳ.

Εἰς τὸν ὄρθρον. Ἡ ἀκολουθία ψάλλεται μετ᾽ *Ἀλληλούια* κατὰ τὸν τύπον τοῦ β΄ Σαββάτου τῶν νηστειῶν. Εἰς τὰ καθίσματα τὰ 3 μαρτυρικὰ τοῦ πλ. β΄ ἤχου *«Ἀθλητικὸν ἀγῶνα»* κ.λπ., Δόξα, τὸ νεκρώσιμον *«Ἀληθῶς ματαιότης τὰ σύμπαντα»*, Καὶ νῦν, τὸ α΄ θεοτοκίον τοῦ ἤχου *«Ὁ τὴν εὐλογημένην»*· ἀλλὰ μετὰ τὰ 8 νεκρώσιμα εὐλογητάρια (καὶ τὸ μνημόσυνον τῶν κεκοιμημένων) τὸ σύνηθες νεκρώσιμον κάθισμα τοῦ πλ. α΄ ἤχου *«Ἀνάπαυσον, σωτὴρ ἡμῶν»*, Δόξα, *«Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ»*, Καὶ νῦν, *«Ὁ ἐκ παρθένου ἀνατείλας»*. Μετὰ τοὺς κανόνας κ.λπ., εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ὁ εἱρμὸς τῆς η΄ ᾠδῆς τοῦ β΄ τετραῳδίου *«Οἱ θεορρήμονες παῖδες»*· στιχολογοῦμεν τὸ *«Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον»* ἐπαναλαμβάνοντες *«Τὴν τιμιωτέραν»* (εἰς ἦχον πλ. δ΄)· εἶτα ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ β΄ τετραῳδίου *«Μεγαλύνομέν σε»* καὶ τὸ *«Ἄξιον ἐστίν»*. (Τὸ φωταγωγικὸν τοῦ ἤχου τῆς ἑβδομάδος δίς.) Ἐξαποστειλάριον τοῦ Σαββάτου μετὰ τοῦ θεοτοκίου. Εἰς τοὺς αἴνους καὶ εἰς τὸν στίχον τῶν αἴνων ὡς ἐν τέλει τοῦ Τριῳδίου (ἦχος πλ. β΄). Ἀπολυτίκια τοῦ Σαββάτου *«Ἀπόστολοι, μάρτυρες»*, Δόξα, *«Μνήσθητι, Κύριε»*, Καὶ νῦν, *«Μήτηρ ἁγία»*.

Εἰς τὴν λειτουργίαν. Ἅπαντα ὡς προεγράφησαν εἰς τὸ β΄ Σάββατον τῶν νηστειῶν, ἀλλὰ Ἀπόστολος: Σαββάτου γ΄ ἑβδο-

μάδος νηστειῶν (Ἑβρ. ι΄ 32-38)· Εὐαγγέλιον: ὁμοίως (Μρ. β΄ 14-17).

15. † ΚΥΡΙΑΚΗ Γ΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ (ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ). Ἀγαπίου καὶ τῶν σὺν αὐτῷ (†303). Ἀριστοβούλου ἀποστόλου Βρετανίας, Μανουὴλ νεομάρτυρος τοῦ Κρητός (†1792). Ἦχος βαρύς, ἑωθινὸν ζ΄ (Τ.Μ.Ε., διατάξεις Τριῳδίου §§38-40).

Εἰς τὴν θ΄. Ἀπολυτίκια *«Ἀπόστολοι, μάρτυρες»*, Δόξα, *«Μνήσθητι, Κύριε»*· κοντάκιον *«Ὡς ἀπαρχάς»*.

Εἰς τὸν ἑσπερινόν. Εἰς τὸ *«Κύριε, ἐκέκραξα»* ἀναστάσιμα 6, τοῦ Τριῳδίου 4, Δόξα, *«Χριστὲ ὁ Θεὸς ἡμῶν»*, Καὶ νῦν, *«Μήτηρ μὲν ἐγνώσθης»*. Ἀπόστιχα τὰ ἀναστάσιμα, Δόξα, Καὶ νῦν, *«Ὁ συμμαχήσας, Κύριε»*. Ἀπολυτίκια *«Κατέλυσας τῷ σταυρῷ σου»*, Δόξα, *«Σῶσον, Κύριε, τὸν λαόν σου»*, Καὶ νῦν, *«Τοῦ Γαβριὴλ φθεγξαμένου σοι»*.

Εἰς τὸ μεσονυκτικόν. Ὁ τριαδικὸς κανὼν τοῦ ἤχου, Δόξα, Καὶ νῦν, τὸ διὰ τὴν λιτὴν ἰδιόμελον *«Ὁρῶσά σε ἡ κτίσις»*, τὰ τριαδικὰ *«Ἄξιον ἐστί»*, τρισάγιον κ.λπ., ἀπολυτίκιον *«Σῶσον, Κύριε, τὸν λαόν σου»*.

Εἴδησις. *Κατὰ τὴν παροῦσαν ἑβδομάδα θὰ τελεσθοῦν δύο λειτουργίαι προηγιασμένων δώρων.*

Εἰς τὸν ὄρθρον. Εἰς τὸ *«Θεὸς Κύριος»* τὰ ἐν τῷ ἑσπερινῷ ἀπολυτίκια. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος.]

ΚΑΘΙΣΜΑΤΑ τὰ ἀναστάσιμα, εἶτα τὸ τοῦ Τριῳδίου *«Ἐν παραδείσῳ μὲν τὸ πρίν»*, Δόξα, Καὶ νῦν, τὸ αὐτό· (εὐλογητάρια δὲν λέγονται). Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινόν (ζ΄)· μετὰ τὸν ν΄ ψαλμόν, τὰ τροπάρια *«Τῆς μετανοίας»* κ.λπ., ὡς συνήθως ἐν τῷ Τριῳδίῳ.

ΚΑΝΩΝ ὁ τοῦ Τριῳδίου μόνον μετὰ τῶν εἱρμῶν αὐτοῦ εἰς 8· πρῶτον ὁ εἱρμὸς δὶς *«Ὁ θειότατος προετύπωσεν»*, εἶτα εἰς τὸ α΄ τροπάριον στίχος *«Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε»*, εἰς δὲ τὰ λοιπὰ *«Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι»*, Δόξα, τὸ τριαδικόν, Καὶ νῦν, τὸ θεοτοκίον (ὡς εἰς τὸ Τριῴδιον)· οὕτω ποιοῦμεν ἐν ἑκάστῃ ᾠδῇ. Μετὰ τὴν γ΄ ᾠδήν, τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου καὶ τὰ μεσῴδια καθίσματα τοῦ Τριῳδίου κατὰ

σειράν. Μετὰ τὴν ς΄ ᾠδήν, κοντάκιον καὶ οἶκος τοῦ Τριῳδίου, τὸ μηνολόγιον καὶ τὸ ὑπόμνημα τοῦ Τριῳδίου.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ («πρόσειρμα») εἰς τὸν τίμιον Σταυρὸν *«Ὁ θειότατος προετύπωσε»· «Τὴν τιμιωτέραν», «Ὦ μῆτερ παρθένε»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ *«Ἅγιος Κύριος»* κ.λπ., τὸ ζ΄ ἀναστάσιμον *«Ὅτι ἦραν τὸν Κύριον»*, τὸ τοῦ σταυροῦ καὶ τὸ σταυροθεοτοκίον αὐτοῦ.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ στιχηρὰ ἀναστάσιμα 4 καὶ προσόμοια τοῦ σταυροῦ 3 *«Ἐν φωναῖς ἀλαλάξωμεν»* κ.λπ. εἰς 4 –εἰς τοὺς πρὸ αὐτῶν στίχους τὰ δύο τελευταῖα–, Δόξα, τοῦ Τριῳδίου *«Τὴν ὑψηλόφρονα γνώμην»*, Καὶ νῦν, *«Ὑπερευλογημένη»*. Δοξολογία μεγάλη (εἰς ἦχον δ΄ [αγια]), εἰς τὸ ἁσματικὸν τρισάγιον τῆς ὁποίας γίνεται

Ἡ τελετὴ τῆς προσκυνήσεως τοῦ τιμίου Σταυροῦ

Εἰς τὸ τέλος τῆς δοξολογίας πρὸ τῆς βορείας πύλης τοῦ ἱ. βήματος σχηματίζεται ἱ. λιτανεία κατὰ τὴν ἐξῆς τάξιν· προηγοῦνται οἱ λαμπαδοῦχοι, ἀκολουθοῦν οἱ φέροντες τὰ ἑξαπτέρυγα, εἶτα οἱ χοροὶ ψάλλοντες τὸ ἁσματικὸν *«Ἅγιος ὁ Θεὸς»* καὶ εἶτα οἱ μετὰ θυμιατῶν θυμιῶντες.

Ἐνῷ ψάλλεται τὸ ἁσματικόν, ὁ ἱερεύς, ἐνδεδυμένος τὴν στολὴν αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὸν τίμιον Σταυρόν, κείμενον ἐπ᾽ αὐτῆς ἐν ἠὐτρεπισμένῳ δίσκῳ μετ᾽ ἀνθέων καὶ τριῶν ἀνημμένων κηρίων· εἶτα αἴρει τὸν δίσκον, θέτει αὐτὸν ἐπὶ τῆς κεφαλῆς, στρέφεται περὶ τὴν ἁγίαν Τράπεζαν ἐκ δεξιῶν πρὸς τὰ ἀριστερά, ἐξέρχεται διὰ τῆς βορείας πύλης τοῦ ἁγ. Βήματος καὶ μετὰ τῆς ἱ. λιτανείας ἔρχεται εἰς τὸ μέσον τοῦ ναοῦ πρὸ ἠὐτρεπισμένου τετραποδίου, ποιεῖ τρεῖς κύκλους περὶ αὐτὸ καὶ ἵσταται βλέπων πρὸς ἀνατολάς.

Πληρωθέντος τοῦ ἁσματικοῦ ὁ ἱερεὺς ἐκφωνεῖ· *«Σοφία, ὀρθοί»*, θέτει τὸν δίσκον ἐπὶ τοῦ τετραποδίου καὶ λαβὼν τὸ θυμιατὸν καὶ θυμιῶν κύκλῳ τοῦ τετραποδίου σταυροειδῶς ψάλλει τὸ τροπάριον *«Σῶσον, Κύριε, τὸν λαόν σου»*, τὸ ὁποῖον ἐπαναλαμβάνει ἕκαστος τῶν χορῶν ἀνὰ μίαν. Εἶτα προσκυνεῖ τὸν τ.

Σταυρὸν ψάλλων τὸν ὕμνον *«Τὸν σταυρόν σου προσκυνοῦμεν, δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν»*, ὃν ἐπαναλαμβάνουν οἱ χοροὶ ἀνὰ μίαν. Εἶτα οἱ χοροὶ τὰ ἰδιόμελα *«Δεῦτε, πιστοί, τὸ ζωοποιὸν»* κ.λπ., ἐνῷ προσέρχεται ὁ λαός, προσκυνεῖ τὸν τ. Σταυρὸν καὶ λαμβάνει παρὰ τοῦ ἱερέως ἄνθη. Τῆς προσκυνήσεως καὶ τῶν ἰδιομέλων πληρωθέντων, ὁ β΄ χορὸς ψάλλει τὸ ἀναστάσιμον τροπάριον *«Σήμερον σωτηρία»*.

Σημείωσις. *Ὁ τ. Σταυρὸς τῆς τελετῆς παραμένει ἐν τῷ ἠὑτρεπισμένῳ δίσκῳ ἐπὶ τοῦ τετραποδίου εἰς τὸ μέσον τοῦ ναοῦ πρὸς προσκύνησιν ἄχρι τῆς Παρασκευῆς τῆς παρούσης ἑβδομάδος, ὅτε γίνεται ἡ τελευταία προσκύνησις αὐτοῦ καὶ αἴρεται ἐν τῷ ἱερῷ βήματι.*

Εἰς τὴν λειτουργίαν.

Ψάλλονται τὰ ἀντίφωνα ὡς ἑξῆς.

Ἀντίφωνον α΄

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.

Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. *Ταῖς πρεσβείαις τῆς Θεοτόκου...*

Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε. *Ταῖς πρεσβείαις τῆς Θεοτόκου...*

Δόξα, Καὶ νῦν. *Ταῖς πρεσβείαις τῆς Θεοτόκου...*

Ἀντίφωνον β΄

Εἶδον πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. *Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, ἀλληλούια.*

